


ὈΝΟΜΑΣΤΙΚὈΝ

Περὶ τοῦ παντὸς,

ἸΩΑ΄ΝΝΟΥ Α΄ΜΩΣΟΥ ΚΟΜΕΝΙ΄ΟΥ.

Μεταφρασθὲν ἐκ τῆς Λατινικῆς διαλέκτου, εἰς τὴν Ἑλληνικὴν παρὰ τοῦ ἐν Ἱεροδιακόνοις ἐλαχίστου Ἀνθίμου Παπᾶ, τοῦ ἀπὸ τῆς Τρίκκης τῆς Θεσσαλίας. Διδασκάλου δὲ τοῦ κατὰ Νεόφυτον Ἑλληνικοῦ Σχολείου (πόλιν τῆς Πανονίας ἐλευθέραν).


Τύποις ἐκδοθὲν φιλοτίμῳ δαπάνῃ τοῦ ἐκ τῶν κατὰ τὴν αὐτὴν πόλιν, Νεόφυτον Γραικῶν χρησιμωτάτου ἐν πραγματευταῖς Κυρίου Ἰωάννου Σταΐκη, τοῦ Μακεδόνος.



ἘΝ ΠΕ΄ΣΤΗ,

Ἐν τῇ τυπογραφίᾳ τοῦ Ματθαίου Τραττνέρ.

1806.



'ΟΝΟΜΑΣΤΙΚΟ'Ν

ΠΕΡΙ'

ΤΟΥ ΠΑΝΤΟ'Σ.

οὐ τὸ μέγα εὖ ἐστι, τὸ δ' εὖ μέγα.

Δημοσθ. παρὰ Πλουτάρχ.
ἐν τοῖς Ἀποφθέγμ.

ΤΩ͂

ἘΝΤΕΥΞΟΜΈΝΩ.

Τοῦτ', ὃ μετὰ χεῖρας ἤδη, φίλε παῖ, ϗ ἀναγνῶσα, λαβὼν, ἔχεις μικρὸν μὲν τῇ ποσότητι, μέγα δ' ἀτεχνῶς τῇ ποιότητι βιβλίδιον, συνέθετο μὲν λατινισὶ πρῶτος ὁ ἐλλόγιμος, ϗ κλεινὸς ἀνὴρ Ἰωάννης Ἀμωσὸς ὁ Κομένιος· χρήσιμον δ' ἅπασιν εἶναι δόξαν, εὐθέως μετ' ȣ πολὺ εἰς πάσας τὰς ἤδη ἀνθέσας εὐρωπαϊκὰς μετήνεκται διαλέκτȣς, μεταφρασθὲν, Γαλλικὴν φημι, Ἀγκλικὴν, Γερμανικὴν, ϗ Ἰταλικὴν.

Ὁρῶντι μὲν ȣ̓͂ν δὴ παρὰ πάντων αὐτὸ ἐγκριθὲν τῶν ἤδη σεσοφισμένων γενῶν, ἀλλὰ δὴ ϗ τὴν ἐντεῦθεν ὄνησιν ȣ̓͂σάν γε ȣ̓ μικρὰν, τυχόντι δὲ καὶ συνερίθȣ πρὸς τὴν τȣ͂ τύπȣ ἔκδοσιν μάλα φιλοτίμȣ γε, ϗ προθύμȣ, ἔδοξε κἀμοὶ ἐς τὴν καθ' ἡμᾶς Ἑλληνίδα μετενεγκεῖν φωνὴν, ϗ δὴ ϗ τύποις ἐκδȣ͂ναι, ὡς ἂν μὴ ϗ τὰ ἡμέτερα τῶν Ἑλλήνων ἀρτιπαγῆ, ϗ ἀρτίπειρα παιδάριά τε, ϗ μειράκια τȣ͂ τοιȣ͂δ' ἀμοιρȣ͂ντα τυγχάνοι καλȣ͂· ȣ̓ γὰρ δὴ καλὸν, ȣ̓δὲ δίκαιον τὰ μὲν ἄλλα τῶν ἐθνῶν παντὸς ἤδη εὐπορεῖν ἀγαθȣ͂, μόνȣς δ' ἡμᾶς τȣ̀ς τῶν περικλεῶν ἐκείνων ἀπογόνȣς Ἑλλήνων ϗ τȣ͂ τυχόντος γ' ἀπορεῖν.

Ἐγὼ μὲν δὴ ἐν πόνων, καὶ τῶν ὅσα πρὸς τὴν τούτου ἐκτέλεσιν ἀναγκαῖα μὴ φεισάμενος, ἐς τὴν Ἑλλάδα μετήνεγκα φωνὴν, κατὰ δύναμιν μὲν αὐτὸ μεταφράσας, μικρὰ δ' ἄττα πανταχοῦ προσθείς· φιλοτίμῳ δέτοι δαπάνῃ τοῦ ἐκτόπως φιλογενοῦς, καὶ χρησιμωτάτου κυρίου Ἰωάννου Στάϊκη, τοῦ Ἕλληνος μὲν τὸ γένος, Μακεδόνος, ἐμπορευομένου, γε μὴν ἤδη κατὰ Νεόφυτον, πόλιν τῆς Πανονίας ἐλευθέραν, τύποις ἐκδοθὲν, ἐς φῶς ἤδη γε προὔκυψεν.

Εἴη δ' ἂν πάντως τουτίγε τὸ βιβλαρίδιον ἅπασι μὲν ἁπλῶς, οὐχ ἥκιστα δὲ τῶν νέων τοῖς πρωτοπείροις, τοῖς περὶ τὸν Ἕλληνα ἔσι λόγον, ὀνησιμώτατον· ἃ γὰρ ἐν ταῖς Σχολαῖς ἔτη κατατρίβοντες οὐκ ὀλίγα, καὶ μακρὸν καταναλίσκοντες χρόνον, καὶ βίβλους ἀνελίττοντες ὅτι πλείσας, ἀγνοοῦντες διατελοῦσι, μὴ μανθάνοντες, εὐχερῶς ἐν ταυθ' ὅσον οὔπω καὶ γνώσονται, και μαθήσονται· ῥᾶσα καὶ γάρ τις ὡς ἐν κοινῷ τινι ταμιείῳ εὕροι ἂν ὧδε τὰς πλείους, ἵνα μὴ τὰς πάσας εἴπω, τῶν ἐν τῷδε τῷ παντὶ πραγμάτων ὀνομασίας, ἰδιότητας, γενέσεις, καὶ χρήσεις· οὐχ ὅπως γὰρ ὀνόματα, ἀλλὰ καὶ τινά πως ἐπίτομον ἔτι τόδε προτίθεται ἀνάπτυξιν οὐρανίων τινῶν σωμάτων, καὶ Μετεώρων· καὶ δὴ καὶ Ζώων παντοίων, τετραπόδων, ἑρπετῶν, πτηνῶν, νηκτῶν, ἐντόμων, ἀμφιβίων, οὐδ' αὐτὴν τὴν τ' ἀνθρώπου παρασιωπῶν διοργάνωσιν· οὐμὴν ἀλλὰ καὶ φυτῶν, Χόρτων, ἀνθέων, καὶ καρπῶν διαφόρων· καὶ μὲν δὴ καὶ λίθων

τε, ϗ μετάλλων· ἔτι δὲ πρὸς τούτοις διαφόρων τεχνῶν, μηχανῶν, ὀργάνων, ϗ, ἵνα μὴ καθ' ἕκαστα λέγων, διατρίβω, πάντων σχεδὸν τῶν ὅσαπερ ἐν τῷ μετὰ σώματος βίῳ ἥκει ἐς χρῆσιν· περὶ μέντοι τὸ τέλος καὶ τῶν δυσχερεστέρων ἐνθάδε λέξεων προσέθειντε κατ' ἀλφάβητον αἱ σημασίαι· ϗ προσέτι μικρόν τι ἀριθμοῦ, ἔτους, μηνῶν, ἡμερῶν τε πέρι, ϗ ὡρῶν.

Μετ' εὐμενείας μὲν οὖν δή, φιλομαθεῖς, τὸν μικρὸν μέν, πάνυ δ' ὅμως κοινωφελῆ, κἀπὸ μόνης προσφερόμενον φιλογενείας τουτονὶ προσδέξασθε ἔρανον· δι' οὗ τῇ ἰδίᾳ ὑμῶν αὐτῶν διαλέκτῳ ἕκαστα κατονομάζειν εἴσεσθε, μηκέτι ξένων δεόμενοι ῥημάτων, ϗ φωνῶν· ἢν δὲ τίπου ἡμαρτημένον γε τύχῃ, εὐγνωμόνως ἐπιδιορθοῦντες, σύγγνωτε, εὖγε ἐκεῖνο εἰδότες, ὡς ἀνθρώπινον μὲν τὸ ἁμαρτάνειν, μόνου δὲ τοῦ Θεοῦ τὸ ἀλάθητον· ἔρρωσθε·

1806. δεκεμβρ. 15.

Ἄνθιμος Παπᾶ,
Ἱεροδιάκονος.

Dem Leser!

Der Erste, der dies Büchlein, das Du, kleiner lieber Leser, in Händen hast, das zwar an Blättern arm, an innerm Werthe aber reich ist, lateinisch herausgegeben hat, war der gelehrte und berühmte Mann, Joannes Amosius Commenius. Da es aber allgemein für nützlich anerkannt worden, so war es gleich darnach in alle europäische blühende Sprachen, nemlich in die französische, englische, deutsche und italienische, übersetzt.

Da ich also sah, daß dasselbe von allen gelehrten Völkern angenommen, und von großem Nutzen sey, und da ich einen Gönner bekam, der zu dessen Herausgabe sehr geneigt war, so beschloß ich, dasselbe auch in unsere griechische Sprache zu übersetzen, und herauszugeben; damit nicht unsere zarten Anfänger, Kinder und Jünglinge dessen Nutzen entbehren müssen. Denn es ist wahrlich nicht gut und auch nicht billig, daß, da alle übrige Nationen an jedem Gute überreich sind, uns, die wir von jenen berühmten Griechen abstammen, an einem, auch dem kleinsten, Gute mangle.

Daher schonte ich der Mühe und alles dessen, das zu desselben Vervollkommnung nothwendig schien, nicht, und übersetzte solches ins Griechische; ich legte nach meinen Kräften aus, habe überall etwas hinzugesetzt, und so beschloß ich, es das Licht sehen zu lassen, da der Herr Joannes Stoiczi, der, ein gebohrner Grieche aus Macedonien, seine Nation sehr liebt, und itzt in der freyen Stadt Pannoniens, Neusatz, die Handlung führt, die nicht geringen Kosten über sich nahm.

Dies Büchlein ist Jedem, besonders aber denenjenigen, welche die griechische Sprache erlernen wollen, sehr nützlich. Denn alles, was man in den Schulen, nach vielen dort zugebrachten Jahren, mit Verschwendung vieler Zeit und zahlreiche Bücher durchblätternd nicht zu erlernen, folglich auch nicht zu wissen im Stande ist, kann man leicht und bald hier kennen lernen. Jeder kann hier leicht, wie in einem Kabinet, die Benennungen, Eigenschaften, den Ursprung und Nutzen wo nicht aller, doch der meisten Dinge, die auf dieser Welt sind, finden; denn es enthält nicht nur die Namen verschiedener Thiere, der Vierfüßigen, Kriechenden, Vögel, Fische, Amphibien, sondern auch kurze Erläuterungen einiger himmlischen Körper und Erscheinungen, selbst das

Gebäude des Menschen nicht ausgenommen; dann verschiedene Pflanzen, Kräuter, Küchenkräuter, Blumen und vielerley Früchte, wie auch Steine, Metalle; ferner mancherley Künste, Maschinen, und Werkzeuge, überhaupt, damit ich mit Erzählung einzelner die Zeit nicht verschwende, alles dasjenige, was wir in diesem Leben brauchen. Zuletzt wird die Bedeutung einiger schweren Wörter in alphabetischer Ordnung zugesetzt; wie auch etwas von Zahlen, vom Jahre, Monathen, Tagen und Stunden.

Mit Wohlwollen also nehmt diese kleine, jedem nützliche und nur aus National-Liebe entsprungene Sammlung auf, damit Ihr alles mit eigenen Wörtern benennen könnet, und in Zukunft nicht mehr anderer Nationen Wörter gebrauchen müsset. Sollte aber irgendwo gefehlet seyn, so vergebet, die Ihr verbessern werdet, und bedenket, daß fehlen menschlich, und nur Gott fehlerfrey sey.

ΠΕΡΙ ΟΥΡΑΝΙΩΝ ΣΩΜΑΤΩΝ.

§. 1.

Ἐν τῷ ὁρωμένῳ ἀπλέτῳ τούτῳ διαστήματι, εἴτε κενῷ, ἐν ᾧ πάντα περιέχεται τὰ φαινόμενά τε, καὶ ὄντα. διόπερ καὶ περιέχον καλεῖται, τὸ αὐτὸ δὴ καὶ οὐρανὸς, ἐν τάξει κεῖται. πανσόφως διεσπαρμένα παρὰ τοῦ τῶν ὅλων δημιουργοῦ, ὁ Ἥλιος, οἱ Πλανῆται, οἱ Κομῆται, οἱ Ἀστέρες, τὰ Ἄστρα, καὶ ὅσα ἐν αὐτοῖς, καὶ περὶ αὐτά· ἅπερ ἅπαντα ὀνομάζεται μὲν κόσμος, ἑπομένως δὲ ἐν συντόμῳ, καὶ, ὅπου τὸ δυνατὸν, πρὸς ἀκρίβειαν ἀναπτυχθήσεται.

§. 2.

Πρὸς τὸν οὐρανὸν ἀτενίζοντες, σφαῖράν τινα ὑπερμεγίστην κατοπτεύομεν, ἧς τινος τὸ μὲν κέντρον ἡμεῖς κατέχομεν, πρὸς δὲ τὴν ἐπιφάνειαν αὐτῆς πάντα ἀναφέρομεν τὰ ἄστρα· ἡ οὐράνιος δὴ αὕτη σφαῖρα, περὶ δύω μέν τινα ἀπλανῆ σημεῖα ἀπ' ἀνατολῶν πρὸς δυσμὰς περιστρεφομένη, διανύουσα δὲ ὁλόκληρον τὴν περίοδον ταύτην ἐν ὥραις περίπου τέσσαρσι καὶ εἴκοσιν, ἡμῖν καθορᾶται, τὰ δὲ σημεῖα ταῦτα πόλοι τοῦ κόσμου καλοῦνται, ὧν ὁ μὲν ὅστις καὶ ὁρατὸς ἡμῖν, ἀρκτικὸς, ὁ δὲ, ἀνταρκτικὸς, μηδέποτ' ἡμῖν καθορώμενος.

§. 3.

Τὰ ἐράνια δὴ σώματα εἰς ἀπλανεῖς τε, καὶ πλανωμένες διαιρεῖται ἀςέρας· καὶ ἀπλανεῖς μὲν εἰσίτε, καὶ λέγονται οἱ πρὸς ἀλλήλες τὰς ἀμοιβαίας διαςάσεις τε, καὶ θέσεις ἀμεταβλήτες διαφυλάττοντες, οἵγε δὴ αὐτόφωτοι ὄντες, καὶ ἀριθμῦ κρείττες, τρόμον τινὰ, καὶ σπινθηρισμὸν ἡμῖν παριςῶσιν, ἀτενιζόμενοι· πλανώμενοι δὲ, οἱ τὴν αὐτὴν ἀείποτε πρός τε ἀλλήλες, καὶ πρὸς τὲς ἀπλανεῖς διασώζοντες διάςασίντε, καὶ θέσιν· οἱ δὲ πλανώμενοι ἔτοί εἰσι διττοί: Πλανῆται δηλονότι, καὶ Κομῆται.

§. 4.

Οἱ Πλανῆται κατὰ μὲν τὲς παλαιὲς ἀριθμῦνται ἑπτά, ὁ Ἥλιος, ὁ Κρόνος, ὁ Ζεὺς, ὁ Ἄρης, ἡ Ἀφροδίτη, ὁ Ἑρμῆς, καὶ ἡ Σελήνη· οἱ δὲ νεώτεροι, οἵ τινες τὴν γῆν κινεμένην δοξάζεσιν, εἰς δύω αὐτὲς διανέμεσιν, εἰς πρώτες, καὶ δευτέρες. καὶ πρῶτοι μὲν οἵδε, ὁ Ἑρμῆς, ἡ Ἀφροδίτη, ἡ Γῆ, ὁ Ἄρης, ὁ Ζεὺς, ὁ Κρόνος, ὁ Οὐρανίας, πρὸς οὓς καὶ οἱ ἀρτίως μὲν ἀνακεκαλυμμένοι δύω, ἐπικληθέντες δὲ, ὁ μὲν Δημήτηρ, ὁ δὲ Παλλὰς, οἵ τινες δὴ πάντες περὶ τὸν ἥλιον φέρονται· δεύτεροι δ' ἐκ ἀπεικότως ἐκεῖνοι καλῦνται, οἵγε περὶ τὲς πρώτες μὲν συμπεριςρέφονται, ὡσπερεὶ δορυφόροι τέτων ὑπάρχοντες, εἰσὶ δὲ οἱ ἐφεπόμενοι, τῆς μὲν γῆς εἷς, ἡ Σελήνη, τῦ δὲ Διὸς τέτταρες, ἑπτὰ δὲ τῦ Κρόνε, τῦ δ' Οὐρανία ἕξ. ἅπαντές γεμὴν οἱ ῥηθέντες σώματα ὑπάρχεσιν ἀφεγγῆ, παρὰ τῦ Ἡλίε τὸ φῶς ἐρανιζόμενα.

§. 5.

Οἱ Κομῆται σώματα καὶ αὐτοὶ ἀφεγγῆτε, καὶ ζοφερὰ ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων ἐλλαμπόμενα· διαφέρυσι δὲ τῶν Πλανητῶν, καθότι, ἐτοι μὲν ἅπαντες ἐκδυσμῶν πρός ἀνατολὰς φέρονται· ἐκεῖνοι δὲ διάφορον ἔχυσι τὴν φορὰν: δηλονότι ἄλλοι μὲν ἐκ δυσμῶν πρὸς ἀνατολὰς, ἄλλοι δ' ἐξ ἀνατολῶν πρὸς δυσμὰς, καὶ ἄλλοι πάλιν ἀπ' ἄρκτυ πρὸς μεσημβρίαν.

§. 6.

Ὁ Ἥλιος ὅπυ ποτ' ἐςὶ, καὶ ὅ, τίποτ' ἐςὶ, σφαιράτις ὑπερ μεγέθης ὑπάρχει φλογερὰ, ὅπερ τηλαυγῶς ἡμᾶς τὰ καθ' ἡμέραν αὐτῦ διδάσκει ἀποτελέσματα. ὅτος δ' ὖν ἀεννάως τε, καὶ διὰ παντὸς τὰς φεγγοβόλυς αὐτῦ ἐκπέμπων ἀκτῖνας, ἅπαντα τὸν ὁρώμενον τυτονὶ καταφωτίζει κόσμον, καὶ περιθάλπει· τὸ δ' ἐντεῦθεν ἐκλάμπον φῶς τὴν ἡμέραν ποιεῖ· τὸ δὲ σκότος, ἐπισκιάσει τῶν ἡλιακῶν ἀκτίνων ἀπιγιγνόμενον, τὴν νύκτα ἀποκαθίςησι· νύκτωρ σελαγίζει μὲν ἡ σελήνη, παρὰ τῦ ἡλίυ τὸ σέλας ἐρανιζομένη, τὰ δ' ἄςρα ςίλβυσίτε, καὶ σπινθηρίζυσιν· ἀλλ' ἑσπέρας μὲν τὸ λυκαυγὲς, εἴτε λυκόφως μετὰ τὴν τῦ ἡλίυ ἐπακολυθεῖ δύσιν, πρωῒ δὲ, πρὸ τῆς ἐκείνυ ἀναδύσεως, ὅπερ δὴ τῦτο, φημὶ δὴ τὸ ἑωθινὸν λυκόφως, εἴτις ἕωντε, καὶ ὄρθρον ἀποκαλοίη, ὐκ ἂν ἁμάρτοι.

ΠΕΡΙ' ΠΥΡΟ'Σ.

Das Feuer.

§. 7.

Τὸ πῦρ φωτίζει, καίει, καὶ καταπιμπρᾷ, ὃ δή τοι σώμασιν ἐν ἀποκρυπτομένου τε, καὶ κατεχομένου, οἱ σπινθῆρες ἄλλοις τε διαφόροις ἐξάλλεσθαι πεφύκασι τρόποις, καὶ μὲν δὴ καὶ τῆς πυρίτιδος τῷ χάλυβι παιομένης οἳ δὴ τῇ ὕσκῃ προσκολλώμενοι, εὐθέως αὐτὴν ἅπτουσιν, ἐξ ἧς τὸ θεῖον, ὅθεν τὸ κηρίον, τὸ ξύλον, ἢ ἄλλ᾽ ἅττα ἅπτεται, καὶ φλὸξ ἐντεῦθεν ἰγείρεται, ἥπερ, εἴτ᾽ οἰκοδομῶν ποίτινων, εἴτ᾽ ἄλλων οἱωνδητινωνοῦν εὐφλέκτων ἐπιλάβοιτο ὑλῶν, καταπίμπρησιν· ἐντεῦθεν δ᾽ ὁ καπνὸς ἐξορμώμενος, καὶ τῇ καπνοδόχῃ προσιζάνων, λιγνὺς, εἴτουν καπνιὰ ἀποκαθίσταται· ἀλλ᾽ ἐκ δαλοῦ μὲν, εἴτουν ξύλου καιομένου, ὁ θυμάλωψ γίγνεται, ὅπερ ἐστὶ ξύλον ἀποσβεσθέν· ἐκ δὲ τῆς ἀνθρακίδος, διαπύρου μέρους τοῦ δαλοῦ, ὁ

Das Feuer leuchtet, brennet und verbrennet. Dessen Funke, mit Hülfe des Stahls aus dem Feuersteine geschlagen, und im Feuerzeuge vom Zunder aufgefangen, zündet den Schwefelfaden, und damit die Lichtkerze, oder das Holz an, und erreget eine Flamme, oder eine Feuersbrunst, welche die Häuser ergreift. Der Rauch steigt davon auf, welcher am Kamine (Schornsteine) hangend zu Ruß wird. Aus dem Brande (brennendem Holze) wird ein Löschbrand, (ein ausgeloschenes Holz.) Aus der Glutkohle (dem glühenden Stücke Brandes) wird eine verloschene Kohle. Endlich, was überbleibt, ist Asche und Loderasche, (glimmende Asche.)

ἄνθραξ· τὸ δ᾽ ἐναπολειπόμενον τέφρα. καὶ σποδὸς καλεῖται. ἥτις ἔμπυρος ὄντα, μαρίλη λέγεται.

ΠΕΡΙ᾽ ᾽ΑΕ᾽ΡΟΣ.

Die Luft.

§. 8.

Ἡ μὲν αὔρα πνέει πρᾴως, ὁ δ᾽ ἄνεμος βιαίως, ὅστις οὐδὲν ἄλλο, ὅτι μὴ βιαία τοῦ ἀέρος ἐστὶ κίνησις· ἡ καταιγὶς, εἴ τε ἄελλα καταβάλλει τὰ δένδρα· ὁ λαίλαψ περιδινεῖται· ὁ δ᾽ ἐναποκρυπτόμενος τῇ γῇ ἀὴρ, θερμαινόμενος μέν ποθεν, ἀραιοῦσθαι πέφυκεν, ἀραιούμενος δὲ, ἐκτείνεσθαι. ἐκτεινόμενος δὲ, εἴπερ ἐξόδου ἀμοιροίη, τὴν τῆς γῆς κίνησιν ὁμποιεῖ, ὅσπερ σεισμὸς ἀποκαλεῖται· οἱ δὲ σεισμοὶ τάς τε συνιζήσεις, καὶ ἐρειπιώσεις, καὶ παντοίας ἄλλας φθορὰς ἀπεργάζονται, καὶ μεταβολάς.

Die Luft webet sanft. Der Wind bläst stark. Der Sturmwind reißt die Bäume nieder. Der Wirbelwind drehet sich in einen Kreis. Der unterirrdische Wind (oder was es immer seyn mag) erreget ein Erdbeben; das Erdbeben machet Erdfälle.

ΠΕΡΙ' ΥΔΑΤΟΣ. Das Wasser.

§. 9.

Τὸ ὕδωρ ἀναβλίζει ἐκ τῆς πηγῆς· καταῤῥεῖ εἰς χείμαῤῥον· ῥέει ἐν τῷ ῥυακι ἀκινητεῖ ἐν τῇ λίμνῃ· ἐν δὲ τῷ ποταμῷ ῥεῖ· περιδινεῖται εἰς σρόβιλον· ποιεῖ λίμνας, καὶ ἕλη· ὁ μεν ποταμὸς ἔχει ὄχθας· ἡ δὲ θάλασσα αἰγιαλὲς, ἠϊόνας, κόλπυς, ἀκρωτήρια, νήσυς, χεῤῥονήσυς, ἰσθμὺς τε, καὶ ὑφάλυς.

Das Wasser entspringt aus der Brunnquelle, schießt herab im Gießbache; rinnet im Bache; steht im See (oder Weiher); fließt im Strome; drehet sich im Wirbel; machet Sümpfe (Moräste). Der Fluß hat Ufer. Das Meer machet Gestade, Meerbusen, Vorgebirge, Inseln, (Eylande,) Halbinseln, Erdengen, Meerengen, (Sunde,) und hat Steinklippen.

ΠΕΡΙ' ΝΕΦΕΛΩ'Ν. Die Wolke.

§. 10.

Ἐκ τῶν ὑδάτων, καὶ πάντων τῶν ὑγρῶν τε, καὶ χλοερῶν, ὐ μὴν αλλὰ καὶ ξηρῶν ἀνέρχονται ἀτμοὶ, ἐξ ὧν τὰ νέφη συνέστηκε. καὶ ἡ παρὰ τὴν γῆν ὀμίχλη· ἐκ τῶν νεφῶν καταφέρεται κατὰ σαγόνας (ψεκάδας) ὁ

Aus dem Wasser steigt der Dampf auf. Daraus wird eine Wolke; und nahe an der Erde ein Nebel. Aus der Wolke tropfet (fließt tropfenweis herunter) der Regen und Platzregen; welcher gefroren ein Ha-

ὑετὸς, καὶ ὁ ὄμβρος· τοῦ πηγνυμένου μὲν, ἡ χάλαζα. ἡμιπηγνυμένου δὲ, ἡ χιὼν γίγνεται, καὶ θερμανθέντος, ἡ ἐρυσίβη· ὑετώδους μὲν ὄντος τοῦ νέφους, πλαγίως δὲ ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων προσβαλλομένου, ἡ ἶρις ἐμφαίνεται· ἐς ὕδωρ δὲ ἐμπίπτουσα ἡ σταγὼν, ποιεῖ πομφόλυγας, εἴτε πέμφιγας· ἐκ πολλῶν δὲ πεμφίγων συνιουσῶν ὁ ἀφρὸς γίγνεται· συμπηγνυμένου δὲ τοῦ ὕδατος, ὁ πάγος, εἴτουν ὁ κρύσταλλος· ἡ δὲ συμπεπηγμένη δρόσος πάχνη καλεῖται· ἐκ τοῦ ἐν τῇ ἀτμοσφαίρᾳ πανταχοῦ διακεχυμένου ἠλεκτρικοῦ πυρὸς ἥ τε βροντὴ, καὶ ἀστραπὴ, καὶ αὐτὸς συμβαίνει ὁ κεραυνός· τοῦ δ' ἠλεκτρικοῦ τούτου πυρὸς σφοδρῶς φερομένου, βροντᾷ, ἀστράπτει, καὶ κεραυνοῖ.

gel; halbgefroren ein Schnee; erhitzet ein Mehlthau ist. In einer Regenwolke, welche der Sonne gegenüber gesetzet, erscheint der Regenbogen. Ein ins Wasser fallender Tropfen machet eine Wasserblase; viele Blasen machen einen Schaum. Gefrornes Wasser wird Eis; gefrorner Thau wird ein Reif genannt. Aus schwefelichtem Dampf entsteht der Donner; welcher aus der Wolke brechend mit einem Blitze donnert und wetterstrahlet.

ΠΕΡΙ' ΓΗ͂Σ.

Die Erde.

§. 11.

Ἐπὶ τῆς γῆς ἐστιν ὄρη ὑψηλὰ, φάραγγες βα-

Auf der Erde sind hohe Berge, tiefe Thä-

θεῖς, ἐπηρμένοι λόφοι, εἴτουν βουνοὶ, κοῖλα σπήλαια, ὁμαλαὶ, εἴτε λεῖαι πεδιάδες, καὶ δάση σύσκια.

ler, erhabene Hügel, hohle Klüfte, (Höhlen), ebene Felder, schattichte Wälder.

ΠΕΡΙ΄ ΓΟ΄ΝΟΥ ΓΗ͂Σ. Erdgewächse.

§. 12.

Ὁ μὲν λειμὼν φέρει χλόην μετ' ἀνθέων, καὶ ποῶν, εἴτουν βοτανῶν, ὧνπερ τεθερισμένων, ἢ κεχορτοκοπημένων, ὁ χόρτος γίγνεται· ἡ δ' ἄρουρα, καρπούς τε, καὶ λάχανα· ἐν τοῖς δάσεσι δ' ἐκφύονται οἱ μύκητες, τάτε κόμαρα, καὶ οἱ μύρτοι· ὑπὸ δὲ τὴν γῆν τάτε μέταλλα, καὶ οἱ λίθοι.

Die Wiese trägt Gras, mit Blumen und Kräutern; welche, abgehauen, Heu werden. Das gepflügte Feld bringt Getreide und Gewächse. In den Wäldern kommen die Erdschwämme, die Erdbeeren, die Heidelbeeren u. dergl. hervor. Unter der Erde wachsen die Metalle, (Erze), die Steine, die Mineralien.

ΠΕΡΙ΄ ΜΕΤΑ΄ΛΛΩΝ. Die Metalle.

§. 13.

Ὁ μὲν μόλυβδος μαλακὸς, καὶ βαρύς ἐστι, ὁ δὲ σίδηρος σκληρὸς, καὶ τούτου σκληρότερος ὁ χάλυψ. οἱ δημιουργοὶ ἐκ μὲν

Das Bley ist weich und schwer. Das Eisen ist hart; und noch härter der Stahl. Die Künstler machen aus Zinn

τοῦ σιδήρου μαχαίρας, κλεῖδας, μοχλοὺς, δικέλλας, βελόνας, καὶ ἄλλα διάφορα χαλκεύουσιν ὄργανα· ὡσαύτως δὴ κἀκ τοῦ χάλυβος· ἐκ δὲ τοῦ κασσιτέρου κανθάρους ποιοῦσιν· ἐκ δὲ τοῦ κυπρίου χαλκοῦ θερμαντῆρας, λέβητας, κρεῖα, καὶ τ. καὶ ἑπομένως ἐκ τοῦ ὀρειχάλκου λυχνίας τε, καὶ κηροπήγια, ἐκ τοῦ ἀργύρου ςατῆρας, ἄλλατε νομίσματα, καὶ διάφορα τεχνάσματα. κἀκ τοῦ χρυσοῦ ὁμοίως χρυσοῦς. καὶ ἄλλα. ὁ ὑδράργυρος ἀείποτε ῥευςός ἐςι, καὶ καταβιβρώσκει τὰ μέταλλα.

die Kannen; aus Kupfer die Kessel; aus Messing die Leuchter; aus Silber die Thaler; aus Gold die Dukaten. Das Quecksilber ist immer flüßig, und zerfrißt die Metalle.

ΠΕΡΙ' ΛΙ'ΘΩΝ.

Die Steine.

§. 14.

Οἱ μὲν λίθοι κατατριβέντες, καὶ ἀπολεπτυνθέντες ἄμμος τε, καὶ ψάμμαθος ἀποκαθίςανται· αἱ δ' αὖθις, συμφυρόμεναίτε, καὶ συμπηγνύμεναι, εἰς λίθους ἀποσκληροῦνται· ἡ ἀκόνη, ὁ χάλιξ, καὶ ὁ μάρμαρός

Der Sand und Kies ist ein zerriebener Stein. Der Stein ist ein Stück eines Felsen. Der Wetzstein, der Kieselstein, der Marmelstein u. d. g. sind undurchsichtige Steine. Der Magnet ziehet das Eisen an sich. Die Edel-



εἰσι λίθοι, τὸ διαφανὲς, (καὶ διαφεγγὲς) ἐκ ἔχοντες. ἀλλ' ὁ μάγνης μὲν ἕλκει τὸν σίδηρον· αἱ δὲ λίθοι διαφανῆ εἰσι λιθάρια, ὡς ὁ λευκὸς ἀδάμας, ὁ ἐρυθρὸς ῥϐβῖνος, ὁ κυανοῦς σάπφειρος, ὁ πράσινος σμάραγδος, ὁ μήλινος ὑάκινθος, καίτ. ἅπερ διαςίλβειν μὲν πέφυκεν, ἐς γωνίας δ' ἀποξεόμενα, καὶ γωνιώδη γ' ἀποβαίνοντα, εἰς διάφορα συντελεῖ ἐγκαλλωπίσματα· τὰ μὲν δὴ μάργαρα, εἴτουν οἱ μαργαρῖται αὔξονται ἐν ταῖς κόγχοις, τὰ δὲ κοράλλια δενδριδίϐ δίκην ἐν τῇ θαλάσσῃ φύεται· τό γεμὴν ἤλεκτρον παρὰ τὴν θάλασσαν, μάλιςα δὲ παρὰ τὴν κατὰ Βορϐσίαν εὑρισκόμενον συλλέγεται· τῷ κρυςάλλῳ δ' ἐμφερὴς ὁρᾶται ὁ ὕελος.

steine sind durchsichtige Steine, als der weiße Diamant, der rothe Rubin, der blaue Saphir, der grüne Smaragd, der gelbe Hyacinth, u. d. g. und glänzen (spielen), wenn sie eckicht sind. Die kleinen Perlen und die großen Perlen wachsen in Muscheln; die Korallen in dem Meere in Gestalt kleiner Bäume. Der Agtstein wird an dem Meere, sonderlich in Preußen, gesammlet. Das Glas ist gleich dem Krystalle.

ΠΕΡΙ ΔΕΝΔΡΩΝ. Der Baum.

§. 15.

Πάντα μὲν τὰ φυτὰ ἐκ σπερμάτων ἴσχει τὴν

Aus dem Saamen wächst die Pflanze her-

γένεσιν, εἰς θάμνυς δ' ἀποβαίνοντα, φιτρὸν προσκτᾶται, καὶ παραφυάδας· ἤδέτοι θάμνος ἀποδενδρῦται· ἀλλὰ τὸ μὲν δένδρον ἀνέχυσιν αἱ ῥίζαι, ἐκ δὲ τῶν ῥιζῶν ἀ,ίςαται τὸ ςέλεχος· κατῦ ςελέχυς οἵτε ἀκρέμονες, καὶ οἱ κλάδοι, εἴτυν κλῶνες, ἐξ ὧν οἱ καρποὶ, καὶ τὰ φύλλα ἐκφύονται· ἐπὶ μὲν δὴ τῶν ἄκρων ἡ κορυφὴ, τὸ δὲ ςέλεχος αὐταῖς προσίχει ταῖς ῥίζαις· κορμὸς δὲ τὸ συντετμημένοντε, καὶ κεκορμημένον καλεῖται ςέλεχος ἀκρεμόνων δίχα· τὸ δὴ ὖν δένδρον ἐκτὸς μὲν φλοιόντε, καί λέπισμα, εἴτε λέμμα, μεθ' ὃ τὸ ξύλον, τύτυ δ' ἐντὸς φέρον ἔχει τὸν μυελὸν, ὃς ὑπὸ πολλῶν μήτρα, ἐντεριώνη, καὶ καρδία ἤκυσεν, ὁδ' ἰξὸς τοῖς ἀκρέμοσιν ἐπιφυόμενος εὑρίσκεται, οἵτινες τό, τε κόμμι, καὶ τὴν ῥητίνην, ἅμα τῇ πίσσῃ, καὶτ. ἀφιδρῦσι.

vor. Die Pflanze wird zu einem Strauche; der Strauch zu einem Baume. Der Baum wird von der W u r z e l erhalten. Aus der Wurzel steigt der S t a m m über sich. Der Stamm theilet sich in die Aeste, und grüne Zweige, aus welchen die Blätter (das Laub) entstehen. Der Gipfel ist zu oberst. Der Stock hängt an den Wurzeln. Der Kloß ist ein abgehauener Stamm ohne Aeste: und hat eine R i n d e, und Bast, das Holz und den Kern. Der Mistel (Vogelleim wächst an den Aesten: welche auch das Gummi, Harz, Pech, u. d. gl. ausschwitzen.



ΠΕΡΙ ΚΑΡΠΩΝ ΔΕΝΔΡΩΝ. Die Baumfrüchte.

§. 16.

Ἐκ μὲν τῶν καρπίμων δένδρων τὰς ὀπώρας ἀποδρεπόμεθα· καὶ τὸ μὲν μῆλον στρογγύλον ἐστὶ, τὸ δ' ἄπιον, καὶ τὸ σῦκον προμήκη· καὶ μακρῷ μὲν ὁ κέρασος συνήρτηται μίσχῳ τὸ δὲ κοκκύμηλον, καὶ περσικὸν μῆλον βραχυτέρῳ, βραχυτάτῳ δὲ τὸ μόρον. τό βασιλικὸν δὲ κάρυον, τό, τε λεπτοκάρυον, καὶ τὸ κάστανον ἐλύτρῳ τε, καὶ κελύφει περικαλύπτεται, τὸ δὲ σπέρμα τῷ περικαρπίῳ, ὅπερ ὁμοῦ καρπὸς καλεῖται· ἄκαρπα δ' ἡ ἐλάτη λέγεται, ἡ κλήθρα, ἡ σημύδα, ἡ κυπάρισσος, ὁ φηγὸς, ἡ μελία, τῆς ἰτέας προσέτι, καὶ τῆς φιλύρας, καί τινων συγκατειλεγμένων ἄλλων, ὧν τὰ πλεῖστα σκιερά ἐστιν· ἀλλ' ὁ μὲν ἄρκευθος προάγει, ἀρκευθίδας διαφνίδας δὲ ἡ δάφνη, ἡ δὲ πίτυς κώνους, ἐν οἷς οἱ πιτυΐδες, εἴτε στρό-

Das Obst wird von den fruchtbaren Bäumen abgebrochen. Der Apfel ist rund. Die Birne und die Feige sind länglicht. Die Kirsche hängt an einem langen Stiele, (Stengel). Die Pflaume und die Pfirsche an einem kürzeren; die Maulbeere am kürzesten. Die wälsche Nuß, die Haselnuß, und die Käste sind in die Rinde und Schale eingewickelt. Unfruchtbare Bäume sind: die Tanne, die Erle, die Birke, die Cypresse, die Buche, die Esche, die Weide, Linde u. d. gl. Doch die meisten sind schatticht. Aber der Wacholderbaum und der Lorbeerbaum tragen Beeren; die Fichte Tannzapfen; die Eiche Eicheln und Galläpfel.

βιλοι· βαλάνες δὲ ἡ δρῦς, καὶ κηκίδας.

ΠΕΡῚ ἈΝΘΕ'ΩΝ. Die Blumen.

§. 17.

Τῶν ἀνθέων, ἦρος φανέντος, τὸ ἴον, ὁ ὑάκινθος, καὶ ὁ νάρκισσος Φέρεται γνωριζόμενα· εἶτα τὰ λευκὰ, μήλινάτε καὶ κυαναυγῆ παρομαρτεῖ κρίνα, εἴτε λείρια· μετὰ δὲ, τὰ ῥόδα, καρυόφυλλα, καὶτ. ἐξ ὧν στέφανοίτε πλέκονται, καὶ φάκελλοι συνδοῦνται· οἷς προστεθέαι αἱ εὐώδεις βοτάναι: οἷον ὁ ἀμάρακος, ὁ ἀμάραντος, τὸ πήγανον, νάρδος ἡ ἰταλική, ἡ λιβανωτὶς, ὁ ὕσσωπος, ἡ νάρδος, τὸ ὤκυμον, τὸ ἐλελίφασκον, τὸ ἡδύοσμον, εἴτουν ἡ μίνθη, τὸ ἄνηθον, καὶ τὸ κύμινον· τῶν μὲν δὴ πεδινῶν ἀνθέων γνωριμώτατα τὰ τῶν συναγκειῶν, ἢ μισγαγκειῶν κρίνα, ἡ χαμαίδρυς, ὁ κύναος, καὶ τὸ χαμαίμηλον· τῶν δὲ βοτανῶν, ὁ κύτισος, εἴτουν τὸ τρίφυλ-

Unter den Blumen sind die bekanntesten: Im angehenden Frühlinge das Veilchen, die Hyacinthe, die Narcisse. Ferner: die weißen und gelben und blauen Lilien. Endlich die Rose, die Nelke, (das Nägelein), u. d. g. Aus diesen werden die Kränze und Sträußchen gebunden. Es werden auch wohlriechende Kräuter dazu genommen, als: der Majoran, die Tausendschön, die Raute, der Lavendel, der Rosmarin, der Isop, die Narde, (der Spik,) die Basilie, die Salvey, die Münze, u. a. m. Unter den Feldblumen sind die bekanntesten: die Mayenblümlein, das Vergiß mein nicht, die Kornblume, die Chamil-

λον, ὁ ἄψινθος, εἴτε ἀψίνθιον, ἡ ὀξαλὶς, καὶ ἡ ἀκαλήφη, εἴτε ἡ κνίδη.

le, u. a. m. Unter den Feldkräutern der Klee, der Wermuth, der Sauerampfer, die Nessel u. a. m. Die Tulpe ist eine Zierde der Blumen, aber ohne Geruch.

ΠΕΡΙ' ΛΑΧΑ'ΝΩΝ. Die Gartenfrüchte.

§. 18.

Ἐν τοῖς κήποις φύονται λάχανα: οἷον ἡ θρίδαξ, ἡ κράμβη, τὸ κρέμμυον, τὸ σκόροδον, τὸ πράσον, ἡ κολοκύνθη, τὸ σίσαρον, ἡ γογγύλη, ὁ ῥάφανος, τὸ πετροσέλινον, ὁ σίκυος, ὁ πέπων, ὁ μελὼν, καὶ ὁ μελοπέπων.

In Kohlgärten wachsen Gartenfrüchte, als: der Sallat, der Kohl, die Zwiebel, der Knoblauch, der Kürbis, die Möhre, (gelbe Rübe,) die weiße Rübe, der Rettich, Meerrettich, (Krän,) die Petersilge, die Gurken, (Cucumern), die Melonen.

ΠΕΡΙ' ΚΑΡΠΩ͂Ν ΓΗ͂Σ, Ἤ́ΤΟΙ ΠΕΡΙ' ΕἸΔΩ͂Ν ΣΙ'ΤΟΥ. Getreid, oder Feldfrüchte.

§. 19.

Τινὲς μὲν τῶν σίτων αὐξηθέντες, καλάμην μὲν γόνασι διακρινομένην ἴσχουσιν, ἐπ᾽ αὐτῆς δ᾽ ὁσάχυς

Einiges Getreide wächst über einem Halme, in Knötlein getheilet, als: der Weizen,

ἀνα-

ἀναβαςάζεται: οἷοι ὁ πυρὸς, ἡ σίλιγνυς, εἴτην ἡ ὄλυρα, ἡ κριθή· ὧν ὁ ςάχυς ἤτοι φέρει ἀνθέρικας, ἢ κολοβός ἐςι, καὶ τὸν κόκκον τῷ ἐλύτρῳ περικαλύπτει· εἰσὶ δ' οἳ ἀντὶ ςάχυος ἀνθήλην ἔχουσι, τοὺς κόκκους φακελληδὸν ἀνέχοντες: οἷον, ὁ βρῶμος, ὁ κέγχρος, πυρὸς ὁ σαρακηνός, τὰ δ' ὄσπρια ἐλλοβά ἐςιν, ἢ ἀμφίεσμα, εἴτουν κεράτια ἔχει, ἅπερ τοὺς κόκκους τοῖς λοβοῖς ἐν ἀποκλείουσιν: οἷον τὸ πίσον, εἴτε λέκυθος, ὁ κύαμος, τὸ βίκιον. καὶ τὰ τούτων μείονα: οἷον ὅ, τε φακὸς, καὶ ὁ ἐρέβινθος.

(Dinkel), der Rocken, die Gerste; an diesen hat die Aehre entweder Spizen; oder sie ist gestümpft, und trägt die Körnlein in Bälglein. Einiges hat anstatt der Aehre ein Kölblein, welches die Körner büschelweis in sich hält; als: der Haber, der Hirsen, das Heydekorn, (der Heyden). Das Hülsengetreid hat Schoten, (Hülsen,) welche die Körner in Fächlein schließen, als: die Erbse, die Bohne, die Wicke, und, welche kleiner als diese sind, nämlich die Linsen und Kichern.

ΠΕΡΙ' ΘΑ'ΜΝΩΝ.

Die Sträuche oder Stauden.

§. 20.

Τὸ φυτὸν, τὸ τῆς βοτάνης μεῖζον, καὶ σκληρότερον, θάμνος καλεῖται, οἷά ἐςι τὰ ἐπὶ τῶν ὀχθῶν, καὶ λιμνῶν φυτὰ, ὡς ἤτε σχοῖνος, καὶ ἡ κάνη καλουμένη, ἐξ ἧς

Eine Pflanze, welche größer und härter ist, als ein Kraut, wird ein Strauch genannt, als da sind: An den Ufern und in stehenden Wässern die Binse, die Semsen ohne



αἰγίαθοι πλέκονται, καὶ ὁ κάλαμος ὁ γόνυ ἔχων· ἀλλαχῦ δ' αὖ γεννῶνται ἡ ῥόδη, ἐξ ἧς τὸ ῥόδον, ἡ ἄκτη, ϗ ἡ ἄρκευθος· προσέτι ἡ ἄμπελος. ἥτις τὰ κλήματα ἐκπέμπει, τάδὲ, τὰ φύλλα, τὰς ἕλικας, τὰς βότρυας, καὶ τὰς ἐπιφυλλίδας, ὧν αἱ ῥάγες τοῖς βοτρύχοις προσφυόμεναι, ἀπαιωρῦνται· τοῖς δὲ βότρυσι καταπατυμένοις, ἢ πτισσομένοις. καὶ διαφόρως πιεζομένοις, ὁ μὲν ἐν αὐτοῖς οἶνος ἀπεκθλίβεται, ἐκρέων. τὰ δ' ἐντεῦθεν ἀπολειπόμενα ςέμφυλα προσαγορεύεται, ἐξ ὧν τὸ πνεύμοινον.

Knoten, welche Narrenkolben tragen, und das knottichte, auch inwendig hohle Schilfrohr. An andern Orten wachsen der Rosenstock, der Johannesbeerbusch, die Holderstaude, das Wachholderbäumlein; wie auch der Weinstock, der Reben hervorbringt, und diese die Gäbelein, die Weinblätter und Trauben; an deren Kamme die Weinbeeren hangen, welche inwendig Kerne haben.

ΠΕΡΙ' ΖΩ'ΩΝ, ΚΑΙ' ΠΡΩ'ΤΟΝ ΠΕΡΙ' ΠΤΗΝΩ'Ν.

Die Thiere, und erstlich die Vögel.

§. 21.

Τὸ ζῶον ζῇ, αἰσθάνεται, κινεῖται, ἢ κινεῖ ἑαυτὸ, γεννᾶται, καὶ γεννᾷ, τρέφεται, κάθηται, καθεύδει, εἴτυν κοιμᾶται, βαδίζει, εἴτε πορεύεται·

Das Thier lebet, empfindet, beweget sich; wird gebohren, und stirbt; nähret sich, und wächst; steht, oder sitzt, oder liegt, oder geht. Der

τὸ πτηνὸν εἴτε ὄρνις πτεροῖς μὲν, καὶ πτίλοις περικεκαλύπτεται, πτέρυξι δὲ δυσὶ, καὶ ποσὶ πλȣτῶν ἰσαρίθμοις, ταῖς μὲν ἵσταται, τοῖς δὲ βαδίζει· πρὸς δὲ, ȣ̓ροπύγιον ἔχει, καὶ ῥάμφος· τὸ θῆλυ ᾠοτοκεῖ ἐν τῇ νεοττιᾷ. εἴτȣν καλιᾷ, καὶ ἐπωάσαν, ἐκκολάπτει τȣ̀ς νεοττȣ̀ς· τὸ δ' ᾠὸν ὀςράκῳ περικαλύπτεται, περιέχοντι ἔνδον τὸ λεύκωμα, τὸ δὲ, την λέκιθον.

Vogel (hier zeiget sich der Eisvogel, welcher im Meere nistet,) ist mit Federn bedecket, fliegt mit den Fittigen, hat zween Flügel, und eben so viele Füße, einen Schwanz, und einen Schnabel. Das Weibchen leget im Neste Eyer, und darüber sitzend brütet (hecket) es Junge aus. Das Ey ist mit der Schale umgeben, unter welcher das Eyerweiß, und in diesem der Dotter ist.

ΠΕΡΙ' ΚΑΤΟΙΚΙΔΙ'ΩΝ 'ΟΡΝΙ'ΘΩΝ.

Hausgeflügel.

§. 22.

'Ο μὲν ἀλέκτωρ, εἴτε ἀλεκτρυὼν, ὃς νύκτωρτε, κἀν διαφόροις ἄλλοις καιροῖς ᾄδειν πέφυκε, κυρβαβασίᾳ μὲν, εἴτȣν λόφῳ ἐπὶ τῆς κεφαλῆς, τῷτε καλλαίῳ ὑπὸ ταῖς σιαγόσι κεκόσμηται, τοῖς δὲ ποσὶ τοῖς πλήκτροις καθώπλισαι· ὁ δ' ἐκτετμημένος ἀλεκτρυὼν ἐκτομίας καλεῖται, ὃς

Der Hahn, (welcher des Morgens krähet,) hat einen Kamm, und Sporne: verschnitten, heißt er Kapaun, und wird im Hühnerkorbe gemästet. Die Henne scharrt den Mist, und suchet Körnlein: gleichwie auch die Tauben, (welche in dem Taubenhause erzogen werden), und der ka-

ἐν τῷ ὀρνιθοτροφείῳ σιτεύεται· ἡ δ' ἀλεκτορὶς τὰς κόπρους ἐσθ' ὅτε σκαλεύειν εἴωθε, καὶ εἴπουτι αὐτόθι ἐδώδιμον εὕροισά γε τύχοι, ποτὲ μὲν τῷ ῥάμφει ἀνάγεται, καταβιβρώσκουσα, ποτὲ δὲ τοῖς νεοττοῖς ὑποδεικνύει, τὸν τοῦ ἐσθίειν αὐτοὺς πως ἐκπαιδεύουσα τρόπον· αἱ δὲ περιστεραὶ αἱ ἐν τοῖς περιστερῶσι διατρεφόμεναι, τὴν διδομένην, ἢ θηρευομένην τροφὴν καταβροχθίζουσι μὲν, ἀλλὰ τὴν μὲν αὐτῶν, τὴν δὲ τῶν νεοσσῶν ἕνεκα· τούτων καὶ γὰρ τῷ στόματί πως ἐνειστεμοῦσι φέρουσαι· αἱ δ' ἀφρικαναὶ μελεαγρίδες κατάστικτα μὲν τίκτουσι τὰ ᾠὰ, ἄλλως δέπως τοὺς νεοσσοὺς ἐκτρέφουσιν· ἀλλὰ τὸ μηδικὸν μὲν ὄρνεον ὁ ταὼς τὰ ποικιλόχροα, καὶ χρυσαυγῆ αὐτοῦ ἀνιστας πτερὰ, μέγα τι, καὶ ὑπέρογκον ἐπὶ τῷ κάλλει φρονεῖ· ὁδὲ πελαργὸς ἐπὶ τοῦ στέγους ποιεῖται τὴν καλιάν· ἡ δὲ χελιδὼν, ὁ στρουθὸς, ἡ

lekutische (indianische) Hahn mit seiner Henne. Der schöne Pfau stolzieret mit den Federn. Der Storch nistet auf dem Dache. Die Schwalbe, der Sperling, die Aelster, die Dohle, und die Fledermaus (geflügelte Maus) fliegen um die Häuser.

κίσσα, ὁ κολοιός, καὶ ἡ νυκτερὶς (ὁ πτερωτὸς μῦς) περιίπτανται τὰς οἰκίας.

ΠΕΡΙ' ΤΩ͂Ν ᾨΔΙΚΩ͂Ν 'ΟΡΝΙ'ΘΩΝ.

Gesangvögel.

§. 23.

Ἡ ἀηδὼν ἥδιστα πασῶν τῶν ἄλλων εὐστομεῖ ὀρνίθων ὁ κορυδαλὸς ἀνιπτάμενος εἰς ἀέρα, ψιθυρίζει· ὁ ὄρτυξ ἐπὶ γῆς καθήμενος, τρυλίζει· αἱ δὲ λοιπαὶ ἐπὶ τῶν δένδρων καθιζάνεσαι, ὡς ὁ ἀλλοδαπὸς ἱπομήλινος σπῖνος εἴτε σπίζα, ἡ θραυπὶς, ἡ ἀκανθὶς, εἴτε ἀκανθιλλὶς, ὁ λινεργὸς, ὁ μικρὸς αἰγιθαλὸς, ὁ ἴκτερος, ὁ ἐρίθακος, ἡ ἐπιλαῒς, εἴτε ἐπιλωῒς, καὶ τ. κατὰ τὴν ἰδίαν αὐτῶν ἕκαστον κελαδεῖ φωνήν· ὁ ἑτερόχροος ψιτακὸς, εἴτε ψιτάκη, ὁ κόσσυφος, ὁ ψὰρ, εἴτε ψαρὸς, ἅμα τῇ κίσσῃ, καὶ τῷ κολοιῷ μιμητικώτατοι τῆς ἀνθρωπείας εἰσὶ φωνῆς· ὧν ὅτι

Die Nachtigall singt am lieblichsten unter allen; die Lerche singt fliegend in der Luft; die Wachtel auf der Erde sitzend; die andern auf den Baumästen; als: der fremde Canarienvogel, der Fink, der Stieglitz, das Zeischen, der Hänfling, die kleine Meise, der Emmerling, das Rothkeßlchen, die Grasmücke u. a. m. Der bunte Papagey, die Amsel, der Staar, mit der Aelster und der Dohle, lernen menschliche Stimmen nachsprechen. Die meisten pflegen in Käfiche eingeschlossen zu werden.

πλεῖσαι παντοδαποῖς τισιν ἐγκλείεσθαι οἰκίσκοις τέρψεως χάριν ἐξείωισαι.

ΠΕΡΙ ΠΕΔΙΝΩ͂Ν, ΚΑΙ͂ ἈΓΡΙ'ΩΝ ὈΡΝΙ'ΘΩΝ.

Feld = und Waldgeflügel.

§. 24.

Ὁ μὲν στρουθοκάμηλος μέγιστόν ἐστιν ὄρνεον, ὁ δὲ τροχίλος ἐλάχιστον. ἡ γλαὺξ τῶν εὐκαταφρονητοτάτων· ὁ ἔποψ ῥυπαρώτατον, κοπροφάγος γάρ· ἡ δ' ἄπους σπανιώτατον ὁ φασιανὸς, ἡ ὠτὶς· ὁ κωφὸς τετράων, ὁ ἀτταγᾶς, ἡ πέρδιξ, ὅ, τε ἀσκαλώπας. καὶ ἡ κίχλη διὰ τὸ ἥδιστα ἔχειν τὰ κρέα μᾶλλον τῶν ἄλλων αὐτὰ προσφερόμενοι, καθηδυνόμεθα, ἐντρυφῶντες· τῶν δὲ λοιπῶν ὀρνέων ἄρισταγε ὄντα τυγχάνει ὁ ἀγρυπνότατος γερανὸς, ἡ τρύζουσα τρυγὼν, ὁ κοκκύζων κόκκυξ, ἡ φάττα, ὁ δρυοκολάπτης, καὶ ἡ κορώνη·

Der Strauß ist der größte Vogel; der Zaunkönig der kleinste; die Nachteule der verächtlichste; der Widehopf der unflätigste; (denn er nähret sich vom Kothe); der Paradiesvogel der seltenste. Der Fasan, der Trappe, der taube Auerhahn, das Haselhuhn, (Birkhuhn), das Rebhuhn, der Schnepf, und der Krammetsvogel werden für Leckerbißchen gehalten. Unter den übrigen sind die vornehmsten: der sehr wachsame Kranich, die girrende Turteltaube, der Kuckuk, die Holztaube, der Specht, der Häher, die Krähe, u. a. m.

ΠΕΡΙ' 'ΑΡΠΑΚΤΙΚΩΝ 'ΟΡΝΕΩΝ.

Raubvögel.

§. 25.

'Ο ἀετός, τῶν ὀρνέων ὁ βασιλεὺς, μόνος τῷ ἡλίῳ ἐνατενίζειν δύναται· ὁ γὺψ, εἴτουν αἰγυπιὸς, καὶ ὁ κόραξ τοῖς πτώμασιν ἐπεντρυφῶσιν· ὁ ἰκτὶν, εἴτε αἰσάλων διώκει τοὺς τῶν ἀλεκτορίδων νεοττούς· ὁ φάλκων, ὁ σπιζίας, καὶ ὁ ἱέραξ θηρεύοντες, ἁλίσκουσιν ὀρνιθάρια· ὁ δὲ ἱεροφάλκων συλλαμβάνει περιστερὰς, καὶ ὄρνιθας μείζους.

Der Adler, der König unter den Vögeln, sieht in die Sonne. Der Geyer und der Rabe nähren sich mit dem Aase. Der Hühnergeyer verfolget die jungen Hühner. Der Falk, der Sperber, und der Habicht fangen die kleinen Vögel. Der Weih fängt die Tauben und größeren Vögel.

ΠΕΡΙ' 'ΕΝΥΔΡΩΝ 'ΟΡΝΙΘΩΝ.

Wassergeflügel.

§. 26.

'Ο μὲν λευκὸς κύκνος, ὅ, τε χὴν, καὶ ἡ νῆττα νήχονται ἐπὶ τῶν ὑδάτων· ἡ δ' αἴθυια ἐμβαπτίζειν ἑαυτὴν εἴωθε· τούτοις συγκαταρίθμει τὴν κέπφον, καὶ τὸν πελεκᾶνον, καὶτ. ὁ μὲν ἁλεάετος, εἴτε ἁλεάκητος, καὶ ὁ λάρος ἵπταται· ὁ δ' ἐρωδιὸς ταῖς ὄχ-

Der weiße Schwan, die Gans, und die Ente schwimmen. Der Taucher tauchet sich unter. Zu diesen zähle das Wasserhuhn, die Löffelgans, u. a. m. Der Fischaar und Kybitz schießen von oben herab; aber der Reiger steht an den Ufern,



θαις παρεσηκὼς, ἰχθύας ζωγρεῖ, ὁ δὲ τριόρχης τῷ ὕδατι ἐντιθεὶς τὸ ῥάμφος, μυκᾶται, ὡς ὁ βȣ̃ς· ἡ δ' ἴυγξ, εἴτε σεισοπυγὶς, τὸ ȣ̓ροπύγιον ȣ̓παύεται διακινȣ̃σα.

um Fische zu fangen. Die Rohrdommel stecket den Schnabel ins Wasser, und brüllet wie ein Ochs. Die Bachstelze beweget immerzu den Schwanz.

ΠΕΡΙ' 'ΟΡΝΙΘΙ'ΩΝ ΦΩΝΩ͂Ν.

§. 27.

Τὸν μὲν ἀετὸν εἴποις ἂν κλάζειν, τὸν δὲ γερανὸν κλαγκάζειν· τὸν δ' ἴερακα ῥύζειν· τὸν δ' ἀλεκτρυόνα φωνεῖν, καὶ ᾄδειν· τὸν δὲ κόκκυγα κοκκύζειν, τὸν δὲ πέρδικα τιττυβίζειν· τρυλίζειν δὲ, ἢ γρυλίζειν τὸν ὄρτυγα· ᾄδειν δὲ τὸν κύκνον, καὶ τὴν τρυγόνα τρύζειν· γογγύζειν δὲ τὴν περισερὰν, καὶ τὴν κορώνην κρώζειν τον κολοιὸν κλώζειν, ἢ κολοιᾶν· τὸν κόψιχον σίζειν τὸν τέττιγα τερετίζειν· τὸν ἔποπα ποππίζειν· τὸ γλαῦκα νύζειν· τὴν μελεαγρίδα κακκάζειν· τὴν νυκτερίδα τρίζειν· τὴν κίτταν κατταβίζειν τὴν χελιδόνα ψιθυρίζειν· τὴν ἀηδόνα ἐυσομεῖν, ȣ̀ τὸν χῆνα παππάζειν· τὴν δὲ μέλιτταν βομβεῖν, καὶ τὸν δράκοντα συρίττειν.

ΠΕΡΙ' 'ΕΝΤΟ'ΜΩΝ ΠΤΗΝΩ͂Ν. Fliegende Ungeziefer.

§. 28.

Αἱ μὲν φιλόπονοι μέλιτται τὰ κηρία, εἴτε μελιττȣ̃τας ἐντέχνως ἐξερ-

Die Biene (Imme) machet Honig, welches der Hummel hinwegzeh=

γάζονται ἐν τοῖς σίμβλοις, ἐξ ὧν ὁ κηρὸς, καὶ τὸ μέλι, ὥσπερ ὁ νωθρὸς, κα ἄκεντρος κηφὴν κατανέμεται· αἱ ἀνθρῆναι δὲ, καὶ αἱ σφῆκες βλάπτουσι, τῷ κέντρῳ κεντοῦσαι· ἀλλὰ τὰ μὲν κτήνη τῷ μύωπι, εἴτε οἴστρῳ κεντούμενα, ἐξοιστροῦνται, ἡμεῖς δὲ ταῖς παμφάγοις μυίαις, καὶ τοῖς αἱμοβόροις κνιψίτε, καὶ κώνωψι νυττόμενοι, κατενοχλούμεθα· ὁ δὲ γρύλλος μινυρίζει· ἡ σητοδοκὶς, εἴτε ψύχη κάμπη ἐστὶ πτερωτή· ὁ δὲ κάνθαρος, εἴτε κοπριών, κολεοῖς τὰς πτέρυγας περικαλύπτει· ὅθεν αὐτόςτε, καὶ τὰ τούτῳ ὅμοια κολεόπτερα καλεῖται· ἡ δὲ πυγολαμπὶς, εἴτε λαμπυρὶς νύκτωρ λαμπυρίζει.

ret. Die Wespe und Hornisse verletzen mit dem Stachel, und insonderheit plaget das Vieh die Breme, uns aber die Fliege und die Mücke, (Schnacke). Der Grille singt leise. Der Schmetterling (Zweyfalter) ist eine geflügelte Raupe. Der Käfer decket die Flügel mit Bälglein. Das Johanneswürmchen glänzet bey der Nacht.

ΠΕΡΙ' ΤΕΤΡΑΠΟ'ΔΩΝ, ΚΑΙ' ΠΡΩ͂ΤΟΝ ΠΕΡΙ' ΚΑΤΟΙΚΙΔΙ'ΩΝ.

Vierfüßige Thiere, und erstlich die Hausthiere.

§. 29.

Τῶν κυνῶν οἱ μὲν τῶν οἰκιῶν εἰσι φύλακες, οἱ

Der Hund mit dem Hündlein ist ein Hüter

δὲ θηρευτικοὶ, οἱ δὲ πρόςτέρψιντε, καὶ παραμυθίαν τρέφονται, τὲς δ' οἱ ποιμένες τῆς τῶν βοσκημάτων φυλακῆς μεθ' ἑαυτῶν φέρειν εἰώθασι, κατὰ τῶν ἀγρίων ὁμόσε θηρίων ἐφορμᾶν αὐτὲς ἐκπαιδεύοντες, οἱ δ' ἄλλ' ἄττα ὑπεργεῖν ἐξασκἔνται· ὁ δ' αἴλερος, ϗ ἡ γαλῆ τῶν μυῶν τὰς οἰκίας ἀποκαθαίρετι· τὸ δ' αὐτὸ καὶ τῇ μυάγρᾳ ἀποτελεῖται· ὁ δὲ σκίερος, ὁ πίθηκος, καὶ ὁ κερκοπίθηκος πρὸς τέρψιντε, καὶ παραμυθίαν οἴκοι διατηρἔνται· ὁ δ' ἐλειὸς, εἴτε μυοξὸς, καίτινες μείζονες μῦες, ὡς ἡ μυγαλή, καὶ ἡ ἰκτὶς (γαλῆ ἡ ἀγρία) παρενοχλἔσι ταῖς οἰκίαις.

des Hauses. Die Katze (der Kater) säubert das Haus von den Mäusen; welches auch mit der Mausfalle geschiebt. Das Eichhorn, der Affe, und die Meerkatze werden im Hause zur Last gehalten. Der Ratz und die andern größeren Mäuse, als: das Wiesel, der Marder, der Iltis beschweren das Haus.

ΠΕΡΙ' ΒΟΣΚΗΜΑ'ΤΩΝ.

Das Heerdvieh.

§. 30.

Ο' μὲν ταῦρεις, ϗ ἡ βἔς, μετὰ τῆς δαμάλεως ϗ μόσχε θριξὶν ἐπικαλύπτονται· ὁ δὲ κριὸς, ϗ ἡ ὄϊς ἅμα τῷ ἀρνὶ φέ-

Der Ochs, (Stier), die Kuh, und das Kalb sind mit Haaren bedecket, Der Widder, (Hammel, Schöps,) das Schaf,

ρεσιν ἔριον εἴτε εἴριον. κερασφόρα ταυτίγε ὑπάρχοντα πάντα· ὁ δὲ χοῖρος ὅμα τῇ γρωνάδι, ϗ τοῖς χοιριδίοις ἔχεσι μὲν χαίτας, κέρατα δ' ἔ· διχιδεῖς δὲ. εἴτε δισχήλες τὰς ὁπλὰς φέρεσιν, ὡς ἐκεῖνα.

mit dem Lamme tragen Wolle. Der Bock, samt der Geis, (Ziege), und dem Bocke, haben Zotten und Bärte. Das Schwein, mit den Ferkeln, hat Borsten: aber nicht Hörner: doch gespaltene Klauen, wie jene.

ΠΕΡΙ' ΥΠΟΖΥΓΙ'ΩΝ. Das Lastvieh.

§. 31.

Ὅ, τε ὄνος, ϗ ὁ ἡμίονος ἄχθεσιν ἐπιφορτίζονται· ὁ δ' ἵππος, ὃν αἱ χαῖται κοσμᾶσιν, ἡμᾶς αὐτὲς τε ἐπιβάντας, ϗ φορτία ἐπιτιθέμενα βαστάζει· πρὸς δὲ καὶ τὰς ἁμάξας ἕλκει· ἡ δὲ κάμηλος τόν τε ἔμπορον, καὶ τὴν ἐμπορίαν ἀνέχει· ὁδ' ἐλέφας τὴν φορβὴν, εἴτε νομὴν διὰ τῆς προβοσκίδος ἐφελκύει, τῶν ὀδόντων δύω προβεβλημένες ἔχων, ϗ τριάκοντα περίπε ἄνδρας ἀναβασάσαι δυνάμενος.

Der Esel und der Maulesel tragen Lasten. Das Pferd (Roß), (welches die Mähnen zieren), trägt uns selber. Das Kameel trägt den Kaufmann sammt seinen Waaren. Der Elephant zieht das Futter mit dem Rüssel an sich, er hat zween hervorragende Zähne, und kann auch dreyßig Männer tragen.

ΠΕΡῚ ἈΓΡΊΩΝ ΒΟΣΚΗΜΆΤΩΝ.

Wildvieh.

§. 32.

Ὁ μὲν οὖρος, εἴτε λάσαυρος, καὶ ὁ βούβαλός εἰσιν ἄγριοι βόες· ὁ δ' ἄλκης τοῦ μὲν ἵππου μείζων ἐστὶ, οὗ ἡ βύρσα ἀδιατρήτος, τὰ δὲ κέρατα κλαδώδη ἔχει πρὸς τὴν ἔλαφον ὁ μοίως· ἡ δὲ δορκὰς, ἅμα τῷ νεβρῷ οὐδέτερον ἔχει· ὁ μὲν αἰγόκερως εὐμεγέθη ἔχει τὰ κέρατα, ὁ δὲ αἴγαγρος, εἴτε στρεψίκερως λεπτὰ, οἷς ἑαυτὸν τῆς βάτου πολλάκις ἀπαιωρεῖ· ὁ δὲ μονόκερως ἓν μὲν κέρας ἔχει, πολύτιμον δὲ, εἰ μὴ μῦθος τὸ λεγόμενον εἴη· ὁ δὲ κάπρος, εἴτε σύαγρος ἀφρίζει τοῖς ὀδοῦσιν. ὁ μὲν λαγὼς δειλός ἐστιν· ὁ δὲ δασύπους, εἴτε γεωρύχος, τὴν γῆν ὁ μοίως τῇ ἀσπάλακι διορύττων, θρόμβους τε, καὶ γηλόφους ποιεῖται.

Der Auerochs und Büffel sind wilde Ochsen. Das Elend, großer als ein Pferd, (dessen Haut undurchdringlich ist), hat zackigte Hörner, wie auch der Hirsch; aber das Reh sammt dem Rehböcklein fast gar keine. Der Steinbock hat gar große Hörner; die Gemse gar kleine, mit denen sie sich an die Steinklippe hänget. Das Einhorn ein einziges, aber gar köstliches, wo es nicht eine Fabel ist. Der Eber wühlet mit den Zähnen. Der Hase ist furchtsam. Das Kaninchen durchgräbt die Erde, wie auch der Maulwurf, welcher Häuflein aufwirft.

ΠΕΡΙ' 'ΑΓΡΙ'ΩΝ ΘΗΡΙ'ΩΝ.

Wilde Thiere.

§. 33.

Τὰ θηρία τὲς τεὸνυχας, ϰ὇ ὀδόντας ὀξεῖς ἔχει. καὶ σαρκοφάγα ἐςί. τοιϑτίς ἐςιν ὁ χαιτήεις λέων, τῶν τετραπόδων ὁ βασιλεὺς, ἅμα τῇ λεαίνῃ· ὁ κατάςικτος πάνθηρ, εἴτε πάρδαλις, καὶ ἡ τίγρις θηρίων πάντων ἀγριώτατά ἐςιν· ἡ μὲν ἄρκτος λαχνήεσσα, ὁ δὲ λύκος ἅρπαξ, καὶ ὁ λύγξ τῇ ὁράσει ἰσχύων ἐςίν· ἡ δὲ κερκοφόρος ἀλώπηξ πάντων ἐςὶν ἡ πανϑργοτάτη· ὁ μὲν χερσαῖος ἐχῖνος κέντροισι περιβάλλεται· ἡ δὲ μελὶς μᾶλλον τῇ φωλεᾷ χαίρϑσα ἐμμένει.

Die wilden Thiere haben scharfe Klauen und Zähne, und sind fleischfressig. Als: der Löwe, der König der Vierfüssigen, bemähnet, sammt der Löwin; das fleckichte Pantherthier; das Tygerthier, das grausamste unter allen; der zottichte Bär; der reißende Wolf; der Luchs, der ein scharfes Gesicht hat; der langgeschwänzte Fuchs, der listigste unter allen. Der Igel ist stachelicht. Der Dachs verkriecht sich gern.

ΠΕΡΙ' ΖΩ'ΩΝ ΦΩΝΩ͂Ν.

§. 34.

Εἴποις ἂν τὸν μὲν κύνα ὑλακτεῖν, ὅθεν ὑλαγμός· τὸν δὲ λύκον ὠρύεσθαι, ϰ὇ ὠρυγμὸν τὸ ἀποτέλεσμα· χρεμετίζειν δὲ τὸν ἵππον, ϰ὇ χρεμετισμόν· μυκᾶσθαι δὲ τὸν βϑν, ϰ὇ μυκηθμόν· τὸ δὲ πρόβατον βληχᾶσθαι, ϰ὇ βληχήν· μηκᾶσθαι δὲ

τὴν αἶγα, ϗ μηκαγμὸν τὴν φωνήν· τὰς δ' ὄνους τε, ϗ ἡμιόνους βρωμᾶσθαι ἂν φαίης, ϗ ὀγκᾶσθαι. ὅθεν βρώμησις, ϗ ὀγκηθμὸς βρυχᾶσθαι δὲ τὸν λέοντα, ϗ βρυχηθμόν· ἐπὶ δὲ τῶν ἀγρίων ἄλλων ζώων, ὧν ἴδιον τῆς φωνῆς οὐκ ἔστιν ὄνομα: οἷον ἄρκτου, παρδάλεως, ϗ πάνθηρος βρυχᾶσθαι λέγουσιν· ἐπὶ δὲ τῶν μικροτέρων: οἷον ἀλωπέκων, θώων, ϗ λυγκῶν, ὑλακτεῖν, ϗ ὠρύεσθαι.

ΠΕΡΙ ὌΦΕΩΣ, ΚΑΙ ἙΡΠΕΤΩ͂Ν.

Schlangen und Gewürme.

§. 35.

Οἱ ὄφεις κολπουντές πως, ϗ συστρέφοντες ἑαυτοὺς, ἕρπουσιν· ἀλλ' ὁ μὲν κυρίως λεγόμενος ὄφις ἐν τοῖς δάσεσι διαιτᾶται· ἐν τοῖς ὕδασι δὲ ἡ ὕδρα· ἡ ἔχιδνα δέ, εἴτουν ἔχις ἐν τοῖς λίθοις· ἐν δὲ τοῖς πεδίοις ἡ ἀσπίς, κἀν τοῖς οἴκοις ἡ βοᾶ· ὁ δὲ τυφλῖνος τυφλός ἐστι· ποδῶν δὲ εὐμοιροῦσιν ἥτε σαῦρα, ϗ ἡ σαλαμάνδρα, ἥτις κἀν τῷ πυρὶ ζῶσάγε διαρκεῖν μυθεύεται· ἀλλ' ὁ μὲν δράκων, εἴτουν ὁ πτερωτὸς ὄφις, τῇ ἐκπνοῇ τοὺς ζῶντας θανατοῖ, τοῖς δ' ὀφθαλμοῖς

Die Schlangen kriechen sich krümmend: Die große Schlange im Walde; die Natter im Wasser; die Otter in Steinklippen; die Feldotter in Feldern; die Unke in Häusern; die Blindschleiche ist blind. Füße haben die Eidexe, der Salamander, (Molch), welcher im Feuer lebet. Der Drache, eine geflügelte Schlange, tödtet mit dem Hauche; der Basilisk mit den Augen, (was man vor Zeiten fälschlich erzählte); der

ὁ βασιλίσκος, ὡς παρὰ τοῖς ἀρχαίοις ἐμυθεύετο· ὁ δὲ σκορπίος τῇ ἰοβόλῳ αὐτȣ̃ ȣ̓ρᾷ.

Scorpion mit dem vergifteten Schwanze.

ΠΕΡΙ' ΤΩ͂Ν 'ΕΝΤΟ'ΜΩΝ 'ΕΡΠΕΤΩ͂Ν.

Kriechendes Ungeziefer.

§. 36.

Οἱ μὲν σκώληκες πάντα καταβιβρώσκȣσι τὰ πράγματα· οἱ δ' ἕλμινθες τὴν γῆν· ἡ κάμπη τὰ φυτά· ἡ ἀκρὶς ταῖς ἀρȣραις, καὶ τοῖς φυτοῖς λυμαίνεται· ὁ τρὼξ, εἴτε κανθαρὶς τὸν σῖτον· ὁ τερηδὼν τὰ ξύλα· ὁ σὴς τὰ ἐνδύματα· ἡ σίλφη τὰς βίβλȣς· ὁ σὴψ, εἴτε θαλλὸς τὰ κρέατα, καὶ τȣ̀ς τυρȣ́ς· ὁ ἶψ τὰ κέρατα, καὶ τὸ ἄκαρι τὴν τρίχα· ἡ δὲ πηδῶσα ψύλλα, ὅ, τε φθεὶρ, καὶ ἡ βρωμȣ̃σα κόρις δάκνȣσιν ἡμᾶς αὐτȣ́ς· ἡ δὲ κυνόμυια αἱμοβόρος ἐςίν· οἱ μὲν βόμβυκες, εἴτȣν οἱ σῆρες σκώληκές εἰσιν, ἀφ' ὧν τὰ σηρικὰ ἀνίενται νήματα· οἱ δὲ μύρμηκες μᾶλλον

Die Würme benagen die Sachen: der Regenwurm die Erde; die Raupe die Pflanze; die Heuschrecke die Früchte; der Kornwurm das Getreide; der Holzwurm das Holz; der Schabe die Kleider; die Motte das Buch; die Maden Fleisch und Käse; die Milben das Haar; der hüpfende Floh, die Laus, die stinkende Wanze, beißen uns selber. Die Schaaflaus sauget das Blut aus. Der Seidenwurm machet Seide. Die Ameise ist emsig. Die Spinne wirket ein Geweb, als Netz für die Fliegen. Die Schnecke trägt ihr Haus herum.



τῶν ἄλλων φιλόπονοί εἰσιν· ὁ ἀράχνης ὑφαίνει τὴν ἀράχνην, εἴτουν τὸ ἀράχνιον ὕφασμα, ὥσπερ οἱονείτινι ἀμφιβλήστρῳ διάφορα ἁλίσκεται ζωΰφια· οἱ δὲ κοχλίαι τὰ ὀςρακώδη αὐτῶν περιφέρουσιν οἰκήματια.

ΠΕΡΙ' 'ΑΜΦΙΒΙ'ΩΝ.

Thiere, die im Wasser und auf der Erde leben.

§. 37.

Τῶν ἐπὶ τε γῆς, κἀν ὕδασι διαιτωμένων ἀμφιβίων, ὁ μὲν Κροκόδειλος, θηρίον τερατῶδέςτε, καὶ ἁρπαλεώτατον, ἐν τῷ κατὰ τὴν αἴγυπτον μεγίςῳ ποταμῷ νείλῳ εὑρίσκεται διαιτώμενον· ὁ δὲ Κάςωρ χηνείους μὲν πρὸς τὸ νήχεσθαι τοὺς πόδας ἔχει, λεπιδωτὴν δὲ τὴν οὐράν· τούτοις δὲ καὶ ἡ δάκνουσα ἐνυδρίς, καὶ ὁ κοαξεῶν βάτραχος, ἅμα τῷ φυσάλῳ συγκαταλέγονται, καὶ τῇ Χελώνῃ, ἥτις ἔνερθέντε, καὶ ὕπερθεν ἀσπίδος δίκην ὀςράκοις περιπέ-

Auf der Erde und im Wasser leben: Der Crocodill, ein ungeheures und räuberisches Thier des Nilflusses in Egypten; der Biber, welcher Gänsefüße zum schwimmen, und einen Schuppenschwanz hat; die Fischotter und der quakende Frosch mit der Kröte; die Schildkröte, welche oben und unten mit Schalen, als mit einem Schilde, bedeckt ist.

φραττει

φρακται, φερέοικός γε ὑπάρχεσα κατὰ τὴν τε̃ Ζηνὸς ἀράντε, καί καταδίκην.

ΠΕΡΙ' ΠΟΤΑΜΙ'ΩΝ, ΚΑΙ' ΛΙΜΝΑ'ΙΩΝ 'ΙΧΘΥ'ΩΝ.

Fluß-und Weiher-Fische.

§. 38.

'Ο ἰχθῦς πτέρυγας μὲν, αἷς νήχεται, βραγχία δὲ, δι' ὧν ἀναπνεῖ, ἀκάνθας δ' ἀντ' ὀςῶν κέκτηται· ἐπὶ τέτοις ὁ μὲν ἄῤῥην θορὸν, ὠὰ δ' ἡ θήλεια ἔχει· καὶ οἱ μὲν τέτων λεπιδωτοὶ, ὡς ὅ, τε κυπρῖνος, καὶ ὁ λάβραξ· ἀλεπίδωτοι δ' εἰσί, καὶ μαλακόδερμοι, ὡς ἡ ἔγχελυς, καὶ γαλῆ ἡ θαλάσσιος· ὁ ἔλλοψ ὀξύθηκτος μέν ἐςιν, αὔξει δὲ, τε̃ ἀνθρωπείε μείζων γινόμενος ἀναστήματος· ἀλλὰ τέτε μείζων μὲν ὁ πρόςομος σίλερος, μέγιςος δὲ ὁ ἀντακαῖος· εἰσὶν οἱ τῶν ἰχθύων ἐλάχιςοι, ἀφύαι καλέμενοι, οἵτινες ἀγεληδὸν νήχον-

Der Fisch hat Floßfedern, womit er schwimmet, und Fischohren, wodurch er Athem holet; und Gräten, anstatt der Knochen: über das hat der Leimer Milch; der Rogner Rogen. Etwelche haben Schuppen, als der Karpfen und der Hecht; andere sind glatt, als: der Aal, und die Aalraupe. Der Stör ist stachelicht, und wächst über Mannslänge. Der weitmäulige Welß (Scheid) ist größer, als jener: aber der größte ist der Hausen. Die Grundeln, welche haufenweise schwimmen, sind die kleinsten Fische. Andere dieser



ται· εἰσὶ δὲ καὶ ἕτεροι, τοῦ αὐτοῦ εἴδους, οἷον ἡ πέρκη, ὁ λευκίσκος, ἡ τρίγλη, ὁ θύμαλλος, ὅ, τε κωβιὸς, καὶ ὁ ψύλλων· ἀλλ᾽ ὁ μὲν καρκῖνος ὀστράκῳ καλύπτεται, χηλάς τε ἔχει, πρόσω, καὶ ὀπίσω ἑρπόμενος· ἐκμυζᾷν δὲ τὸ αἷμα ἡ βδέλλα πέφυκε.

Art sind: die Bersche, der Weißfisch, die Barbe, der Esch, die Forelle, die Kresse, die Schleihe. Der Krebs ist mit der Schaale bedecket, hat Scheeren, und geht vor und hinter sich. Der Egel sauget das Blut aus.

ΠΕΡΙ' ΘΑΛΑΣΣΙ'ΩΝ 'ΙΧΘΥ'ΩΝ, ΚΑΙ' ΚΟΓΧΥΛΩ͂Ν.

Meerfische und Muscheln.

§. 39.

Τῶν θαλασσίων ἰχθύων μέγιστον μέν ἐστι τὸ κῆτος, ταχύτατος δὲ ὁ δελφὶν, ἡ δὲ βάτος τερατωδεστάτη· εἰσὶ δὲ καὶ ἕτεροι, οἳ σμύραινα, καὶ σαλμὼν καλοῦνται· πρὸς δὲ, καὶ θαλάσσιά ἐστι πετεινά· τούτοις πρόσθες τάς τε μαινίδας, αἵτινες τεταριχευμέναι τῆς τραπέζης ἐπιτίθενται, καὶ τὰς νήττας ἅμα τοῖς ὀνίσκοις, οἳ ξηρανθέντες, προσφέρονται· τάτε θαλάσσια τέρατα, οἷον τὴν

Unter den Meerfischen ist der größte der Wallfisch; der Delphin der geschwindeste; der Roche der seltsamste. Andere werden genannt: die Neunauge, der Lachs, u. d. g. Es giebt auch geflügelte. Setze hinzu die Heringe, welche gesalzen, und die Halbfische mit den Stockfischen, welche gedörret hergebracht werden, und die Meerwunder, das Meer=

φώκην, καὶ τὸν ἱπποπόταμον, καὶτ. ἡ μὲν κόγχη ὄςρακον ἔχει, τὸ δ' ὄςρεον εὔχυμον σάρκα παρέχει· τὴν μὲν πορφύραν ἡ κογχύλη δίδωσι, τὰς δὲ μαργαρίτας ἡ μαργαριτοφόρος κόγχη.

kalb, das Meerpferd u. d. g. Die Muschel hat Schalen. Die Auster giebt wohlgeschmacktes Fleisch. Die Purpurschnecke giebt Purpur: die Perlenmuschel Perlen.

ΠΕΡΙ' ΔΙΑΦΟ'ΡΩΝ ΚΤΗΤΙΚΩ͂Ν ΤΩ͂Ν 'ΙΧΘΥ'ΩΝ 'ΟΝΟΜΑ'ΤΩΝ.

§. 40.

Εἴποις ἂν ἰχθύα ποτάμιον· ἰχθύα θαλάσσιον· ἰχθύα λιμναῖον· ἰχθύα πελάγιον· ἰχθύα αἰγιαλώδη, ἢ ἀκταῖον· ἰχθύα πετραῖον· ἰχθύα ἀμμώδη· ἰχθύα βορβορώδη· ἰχθύα λεπιδωτόν, ἢ λεπιρώδη· ἰχθυα ἀλεπίδωτον, ἢ μαλακόδερμον· ἰχθύα ἔναιμόντε, καὶ ἄναιμον, ἢ ἀναίμονα.

ΠΕΡΙ' ΤΩ͂Ν 'ΕΠΤΑ' 'ΗΛΙΚΙ'Ω͂Ν ΤΟΥ͂ 'ΑΝΘΡΩ'ΠΟΥ.

Die sieben Alter des Menschen.

§. 41.

'Ο ἄνθρωπος πρῶτον μὲν παιδίον ἐςὶν, ἢ βρέφος· εἶτα παῖς· ἔπειτα μεῖραξ, ἢ νεανίας, ἢ ἔφηβος· ἐκεῖθεν νεανίσκος· μετὰ ταῦτα ἀνήρ· ἀπὸ

Der Mensch ist erstlich ein Kind, hernach ein Knabe, ferner ein Jüngling, weiter ein angehender Mann, folgends ein Mann, alsdann ein



τούτῳ πρεσβύτης, καὶ τελευταῖον γέρων, ἢ τυμβογέρων, (γέρων ὑπὲρ γήρως)· αὐτὰ δὴ ταῦτα κἀπὶ τοῦ θηλείου ἂν θεωροῖτο γένους: κοράσιον, ἢ κόριον· κόρη, ἢ νεᾶνις· παρθένος· γυνή· πρεσβῦτις, καὶ γραῦς (ἡ ὑπέργηρως γυνή).

alter Mann, endlich ein Greis. Also auch im andern Geschlechte, sind das Töchterlein, das Mägdelein, die Jungfrau, das Weib, (die Frau), ein altes Weib, die Altmutter, (das steinalte Mütterlein.)

ΠΕΡῚ ΤΩ͂Ν ἘΞΩΜΕΛΩ͂Ν ΤΟΥ͂ ἈΝΘΡΏΠΟΥ.

Die äußerlichen Glieder des Menschen.

§. 42.

Ἡ μὲν κεφαλὴ ὑπέρκειται, τὸν ἄνω τοῦ σώματος ἔχουσα τόπον· οἱ δὲ πόδες τῷ ὅλῳ ὑπόκεινται σώματι, οἱονεὶ βάθρα ὑπάρχοντες· ὁ δὲ τράχηλος, ὃς ταῖς μασχάλαις ὁρίζεται, ἀνέχει τὴν κεφαλήν· καὶ τὸ μὲν ἔμπροσθεν αὐτοῦ δειρὴ, τὸ δ' ὄπισθεν αὐχὴν προσαγορεύεται· τὸ μὲν στέρνον ἐστὶ πρόσθεν, ὀπίσω δὲ τὰ νῶτα· ὑπὸ τὸ στέρνον δὲ ἡ γαστὴρ, ἐν δὲ τῷ ταύτης μέσῳ ὁ

Das Haupt ist oben; unten, die Füße. Des Halses, (der sich an den Achseln endet), Vordertheil ist die Kehle; das Hintertheil der Nacken. Die Brust ist vornen; hinten der Rücken. Unter der Brust ist der Bauch; in dessen Mitte der Nabel. Auf dem Rücken sind die Schulterblätter; an welchen die Schultern hangen; an diesen die Arme mit dem Ellenbogen; von dannen zu bey-

ὀμφαλός· κατὰ νῶτον εἶσιν αἱ ὠμοπλάται ἀφ' ὧν οἱ ὦμοι, ὧν τὰ πέρατα ἀκρώμια λέγεται, ἐξ ὧν οἱ βραχίονες μετὰ τοῦ ὠλεκράνου εἶθ' οὖν ἀγκῶνος· ἀπὸ δὲ τούτου ὁ πῆχυς, εἴτε ὠλένη· ἐντεῦθεν δ' αἱ χεῖρες συνέχονται, ὧν ἡ μὲν δεξιά, ἡ δ' ἀριστερὰ ἀκούει· ἐπακολουθοῦσι δὲ τοῖς ὤμοις αἱ ὀσφύες, εἴτε ψόαι, ἅμα τοῖς ἰσχίοις· παρὰ δὲ τὸν πρωκτὸν οἱ γλουτοὶ, εἴτουν αἱ πυγαί· ἀποτελοῦσι δὲ τὸν πόδα, ὅ, τε μηρὸς, καὶ τὸ σκέλος, μέσον δὲ τούτων τὸ γόνυ, μεθ' ὃ ἡ γαστροκνημία, καὶ ἡ κνήμη· μετὰ δὲ, οἱ ἀστράγαλοι, μεθ' οὓς ἡ πτέρνα· ἀλλὰ τὸ μὲν τοῦ ποδὸς κάτω, ᾧ πατοῦμεν, πέλμα, τὸ δὲ τούτου κοῖλον θέναρ, κοτύλη, καὶ γύαλον ἀκούει, τὸ δ' ἄνω ταρσός· περὶ δὲ τὰ ἔσχατα οἱ δάκτυλοι, οἱονείτινα τέρματα, περίκεινται· ὅ, τε μέγας φημὶ τῶν δακτύλων, καὶ τῶν λοιπῶν οἱ τέτταρες.

den Seiten die Hände, die Rechte, und die Linke. Auf die Schultern folgen die Lenden mit den Hüften, und am Hintern die Hinterbacken. Das Bein machen aus: der Oberschenkel, ferner der Unterschenkel, (dazwischen das Knie, an welchem die Wade, sammt dem Schinbeine; weiter die Knorren, (Knöchel), die Ferse, und die Sohle; am Ende die große Zehe, mit den vier andern Zehen.



ΠΕΡΙ' ΚΕΦΑΛΗ͂Σ ΚΑΙ` ΧΕΙΡΩ͂Ν.

Haupt und Hände.

§. 43.

Ἐπὶ τῆς κεφαλῆς ἀναφύονται αἱ τρίχες, αἵτινες κόμη μὲν λέγονται, τῷ δὲ κτενὶ κτενίζονται· τὰ δύω προσέτι ὦτα, καὶ οἱ κρόταφοι κατὰ μὲν τὸ ἔμπροσθεν τῶ ὀφθαλμῶ, ὧν ἄνωθεν μὲν αἱ ὀφρύες, καὶ τὸ μέτωπον, κάτωθεν δὲ τὸ πρόσωπον· ὅπȣ ἡ ῥὶν, μετὰ τοῖν μυξωτήροιν, τὸ ϛόμα, αἱ παρειαὶ, αἱ γνάθοι, ϗ αἱ σιαγόνες· τὸ δὲ ϛόμα τῷ τε μύϛακι, ϗ χείλεσι περιβάλλεται· τῶν ἐν τῷ ϛόματι, ἡ μὲν γλῶττα διακρίνει τȣ̀ς τῶν γευϛῶν χυμȣ̀ς, τὸ δὲ ὑπερῷον ὑπερτέταται τȣ͂ ϛόματος· οἱ δὲ ὀδόντες ταῖς γένυσιν, εἴτȣν σιαγόσιν ἐμπεφύκασι· ταῦτα δὲ ἐντὸς τῶν παρειῶν ὄντα, τοῖς χείλεσι περιπέφρακται· τὸ δὲ τȣ͂ ἀνδρὸς γένειον ὁ καθειμένος πώγων, ὅ, ἐκ τῶν περὶ τὰς σιαγόνας τε, ϗ ἀνθεριῶνα τρι-

Am Kopfe sind: das Haar, (welches mit dem Kamme gekämmet wird), die beyden Ohren, die Schläfe, und das Angesicht. Im Angesichte sind: die Stirn, die beyden Augen, die Nase, (mit zwey Nasenlöchern); der Mund, (das Maul); die Wangen, (Backen,) und das Kinn; der Mund ist mit dem Knebelbarte und mit den Lippen; die Zunge sammt dem Gaume mit den Zähnen am Kiefer umgeben. Das männliche Kinn wird vom Barte, das Auge aber, (in welchem das Weiße und der Augapfel), von den Augenliedern und den Augenbramen bedeckt. Die zugedrückte Hand ist eine Faust; die offene Hand ist eine flache Hand; in der Mitte ist die Höhle; das äußerste ist der Dau-

χῶν καθίεται· ὁ δ' ὀφθαλμὸς, ἐν ᾧ ἡ σφενδόνη, εἴτε λογὰς, καὶ ἡ κόρη, τοῖς βλεφάροις. καὶ βλεφαρίσιν ἐπικαλύπτεται· συναλθεῖσα μὲν ἡ χεὶρ δρὰξ, ἡ κόνδυλος καλεῖται· ἀνεωγμένη δὲ παλάμη· καὶ ταύτης μὲν τὸ ἐν μέσῳ κοῖλον θέναρ, κοτύλη, καὶ γύαλον. τὸ δ' ἄνω ταρσός· τὸ δὲ πέρας κατέχει ὁ ἀντίχειρ μετὰ τῶν λοιπῶν τεσσάρων δακτύλων· ὧν ἀντίχειρ μὲν ὁ μέγας ἐςὶ δάκτυλος, τῶν δὲ λοιπῶν ὁ μὲν πρῶτος, λιχανὸς, καὶ δεικτικὸς ὀνομάζεται, ὁ δὲ παρὰ τȣ̃τον μέσος, καὶ καταπύγων. δακτυλικὸς δὲ, καὶ παράμεσος ὁ μετὰ τȣ̃τον, ὁ δὲ τελευταῖος ὠτικός· ἐν ἑκάςῳ δὲ τρία ἐςὶ τὰ ἄρθρα, εἴτȣν αἱ σκυταλίδες, καὶ τοσȣ̃τοι κόνδυλοι, μετὰ τῶν συμπεφυκότων αὐτοῖς ὀνύχων.

men, mit den vier Fingern, der Zeiger, Mittelfinger, Goldfinger und Ohrfinger. An jedem sind drey Glieder, und so viel Knöchel sammt dem Nagel.

ΠΕΡΙ' ΣΑΡΚΟ'Σ, ΚΑΙ' ΣΠΛΑ'ΓΧΝΩΝ.

Fleisch und Eingeweide.

§. 44.

Ἐν τῷ σώματί ἐστιν ὁ χρὼς, εἴτουν ἡ δορὰ, καὶ ἡ ἐπιδερμὶς σὺν τοῖς ὑμέσιν, ἡ σὰρξ μετὰ τῶν μυώνων, οἱ σωλῆνες, οἱ χόνδροι, τὰ ὀστᾶ, καὶ τα σπλάγχνα· ἀφαιρεθέντος δὲ τοῦ δέρματος, ἡ σὰρξ φαίνεται· ἅμα δὲ ταύτῃ οἱ μυῶνες, δι' ὧν τὰ μέλη κινοῦνται· τὰ δ' ἔγκατα ἐνδόμυχά ἐστι μέρη, ὡς ἐν τῇ κεφαλῇ ὁ ἐγκέφαλος, τῷ τε κρανίῳ, καὶ τῷ περικρανίῳ περιβαλλόμενος· ἐν δὲ τῷ στήθει ἡ καρδία τῷ περικαρδίῳ περιελίττεται, καὶ τῷ πνεύμονι, δι' οὗ ἡ ἐκπνοὴ, καὶ ἡ εἰσπνοή· ἐν δὲ τῷ ἐπιγαστρίῳ τὸ γαστρίδιον, καὶ τὰ ἔντερα, ἅμα τῷ ἐπιπλόῳ κεκαλυμμένα ἐστί· τό, τε ἧπαρ, ᾧπερ ἐξ ἀριστερῶν ὁ σπλὴν ἀντίκειται, καὶ οἱ δύω νεφροὶ μετὰ τῆς κύστεως· τὸ δὲ στῆθος πα-

Am Leibe sind: die Haut mit den Häutchen, das Fleisch mit dem Mäuschen, das Geäder, die Knorpeln, Beine und das Ingeweid. Nach abgezogener Haut, erscheinet das Fleisch, und mit selbem die Mäuslein, durch welches die Glieder beweget werden. Das Ingeweide sind die innerlichen Theile, als im Haupte das Gehirn, mit der Hirnschale und dem zarten Hirnschalhäutchen umgeben; in der Brust das Herz, mit dem Herzfelle eingewickelt; und die Lunge, welche Athem holet. Im Bauche der Magen und die Gedärme, mit dem Netze eingewickelt; die Leber, und zur Linken das ihr entgegengesetzte Milz; die beyden Nieren, mit der Blase. Die Brust wird

χεῖ ὑμένι διαχωρίζεται, ὃς διάφραγμα καλεῖται·

von dem Bauche durch eine dicke Haut abgesondert, welche das Zwergfell genannt wird.

ΠΕΡῚ ΣΩΛΉΝΩΝ, ΚΑῚ ὈΣΤΩ͂Ν.

Das Geäder und die Gebeine.

§. 45.

Σωλῆνες μὲν τȣ͂ σώματός εἰσιν αἱ φλέβες, καὶ αἱ ἀρτηρίαι, ὧν αἱ μὲν ἐκ τȣ͂ δεξιȣ͂ τῆς καρδίας γαςριδίȣ τὸ αἷμα ἐξαντλώμενον, εἰς ἅπαντα τάτε ἔσω, τάτε ἔξω τȣ͂ σώματος μέρη μετοχετεύȣσιν, αἱ δὲ φλέβες ἐκ τȣτων τὸ αἷμα διαδχόμεναι, ἐς αὐτὸ τὸ δεξιὸν τῆς καρδίας ἐπανάγȣσι γαςρίδιον· κἀντεῦθεν ἐς ἀυτὴν ἀυτὸ αὖθις ἐνεισχέȣσι τὴν καρδίαν· καὶ ȣ̓͂τως ἡ κυκλικὴ τȣ͂ αἵματος ἀποτελεῖται φορά· τὰ δὲ νεῦρα ἐξ ἀυτȣ͂ πηγάζοντα τȣ͂ ἐγκεφάλȣ, τάςτε αἰσθήσεις, καὶ τὴν κίνησιν ὅλῳ τῷ σώματι παρέχεται· ταυτὶ δὲ τὰ τρία, τὰς, φλέ-

Gerohre des Leibes sind: die Adern, welche das Geblüt aus der Leber; die Pulsadern, welche die Wärme und das Leben aus dem Herzen; die Nerven, (Sennadern), welche die Sinnlichkeit und Bewegung aus dem Gehirne durch den Leib leiten. Diese drey findest du überall beysammen. Ferner vom Munde ist der Schlund, die Straße der Speise und des Trankes in den Magen und neben dieser zur Lunge die Luftröhre, zum Athemhohlen; vom Magen zum Hintern ist nach verschiedenen andern Gedärmen, der Grimmdarm und der

βας λέγω, ἀρτηρίας, καὶ νεῦρα ἁπανταχοῦ εὑρήσεις συνεζευγμένα· ἐντὸς δὲ τοῦ αὐχένος δύω ἀϑίς εἰσι σωλῆνες, ὧν ὁ μὲν οἰσοφάγος, δι' οὗ ἡ τροφὴ, καὶ τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ, ὁ δὲ τραχεῖα λέγεται ἀρτηρία, δι' ἧς ὁ ἔξω ἀὴρ ἐς τοὺς πνεύμονας εἴσεισι, κἀκ τούτων πάλιν ἔξεισιν· ὅθεν τὸ ἀναπνεῖν· τῆς δὲ τραχείας ταύτης ἀρτηρίας ἡ κορυφὴ λάρυγξ ἀποκαλεῖται, εἰς ἐλλειπτικήν τινα μονονοῦ κλειθρίαν πρὸς τὸ στόμα ἀποπερατούμενος, ἥπερ ὄνομα γλωττὶς, τούτου δέγε τὸ ἐπικάλυμμα ἐπιγλωττὶς ἀκούει· ἀπὸ δὲ τῆς γαστρὸς ἄχρι πρωκτοῦ, μετὰ τὰ διάφορα ἄλλα σπλάγχνα, ὁ ἠθμὸς, τό, τε ὀρθόν ἐστιν ἔντερον, ὃς πυλωρὸς, καὶ κῶλον ἀκούει, δι' οὗ ἡ κόπρος ἐκβάλλεται· ἀπὸ δὲ τοῦ ἥπατος πρὸς τὴν κύστιν ὁ οὐρητὴρ, ἐς τὴν τοῦ οὔρου ἄφεσίν τε, καὶ ἔκχυσιν· ἔστι δ' ἐν τῇ κεφαλῇ τό, τε κράνιον,

Mastdarm, den Unflat auszuführen; von der Leber zur Blase die Harnröhre, den Harn zu lassen. Gebeine sind: am Kopfe, die Hirnschale, die zween Kiefer, mit zwey und dreyßig Zähnen; weiter der Rückgrad, die Säule des Leibes, welche in drey und dreyßig Gelenken bestehet; daß der Leib sich biegen könne; die Rippen, derer vier und zwanzig sind, das Brustblatt; die zwey Schulterblätter; das Hüftbein; die Armschienen; die Schenkelbeine; das vordere und hintere Schinbein; Gebeine der Hand sind sieben und zwanzig; des Fußes sechs und zwanzig. In den Beinen ist das Mark.

καὶ αἱ δύω σιαγόνες, ἅμα τοῖς τριάκοντα, καὶ δύω ὀδοῦσιν, οἵπερ αὐταῖς ἐμπεπήχαται ταῖς σιαγόσι, περιεσφιγμένοι τοῖς οὔλοις· μετὰ δὲ, ἡ ῥάχις, τοῦ σώματος ὁ στύλος, ὃς κρίσις καλεῖται, ἐκ τριάκοντα καὶ τριῶν συνισταμένη σφονδύλων. ὅπως ἑαυτὸ κινεῖν τὸ σῶμα δύνηται· προσέτι αἱ πλευραὶ, τέσσαρες πρὸς τοῖς εἴκοσιν οὖσαι· τὸ κατὰ τὸ στέρνον ὀστοῦν, αἱ δύω ὠμοπλάται, τό τοῦ ἑδραστηρίου ὀστοῦν, οἱ μυῶνες, αἱ κνῆμαι, καὶ αἱ ἔμπροσθεν, καὶ ὄπισθεν τῶν κνημῶν περόναι· τὰ δὲ τῆς χειρὸς ὀστᾶ ἑπτὰ, καὶ εἴκοσιν ἀριθμοῦνται, ἓξ δὲ τοῦ ποδὸς, καὶ εἴκοσι· τούτων δ' ἐντὸς ὁ μυελὸς ἐναπόκειται.

ΠΕΡΙ ΤΩΝ ΕΞΩ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΑΙΣΘΗΣΕΩΝ.

Aeußerliche Sinne.

§. 46.

Αἱ ἔξω τοῦ ἀνθρώπου αἰσθήσεις εἰσὶ πέντε, ἡ ὅρασις, ἡ ἀκοὴ, ἡ ὄσφρησις, ἡ γεῦσις, καὶ ἡ ἀφή· ὄργανα δὲ τούτων ὁμοίως ἰσάριθμα, ὁ ὀφθαλμὸς, τὸ οὖς, ἡ ῥὶν, ἡ γλῶσσα, καὶ ἡ χείρ· ὧν ὁ μὲν ὀφθαλμὸς τῶν κεχρωσμένων ὁρατῶν διακρίνει τὰ χρώματα, ἅπερ κυρίως εἰσὶν ἑπτὰ, τὸ ἐρυθρὸν, τὸ χρυσαυγὲς, τὸ ὠχρὸν, τὸ πράσινον, τὸ κυανοῦν, τὸ πορφυροῦν, καὶ τὸ ἰῶδες, ἐξ ὧν διαφόρως συμμιγνυμένων τε, καὶ συγκρινομένων τὰ λοιπὰ διάφορα ἀποτελεῖται χρώματα· τὸ μέντοι λευκὸν, καὶ μέλαν οὐκ ἂν εἴη χρώματα· τὸ μὲν γὰρ οὐδεμίαν ἀνακλᾷ ἀκτῖνα, τὸ δὲ λευκὸν ὁμοῦ πάσας· τὸ δὲ οὖς διακριτικόν ἐστι τῶν ἤχων, εἴτε φυσικοὶ εἶεν, οἷοι αἱ φωναὶ, καὶ

Aeußerliche Sinne sind fünf. Das Auge sieht die Farben, was weiß oder schwarz, grün oder blau, roth oder gelb sey. Das Ohr höret den Schall, sowohl den natürlichen, die Stimmen und Worte; als den künstlichen, die Musiktöne. Die Nase riecht den Geruch und Gestank. Die Zunge mit dem Gaumen versuchet den Geschmack; was süß oder bitter, scharf oder sauer, herb oder streng ist. Die Hand unterscheidet durch das Anrühren der Sache Größe, und Beschaffenheit, warmes und kaltes, feuchtes und trockenes, hartes und weiches, glattes und rauhes, schweres und leichtes.

τὰ ῥήματα, εἴτε τεχνητοὶ, οἷοι οἱ τόνοι, καὶ οἱ ῥυθμοὶ τῶν μουσικῶν ὀργάνων· ἔστι δὲ ἦχος μὲν ἀέρος πληγὴ, ὑπ' ἀντιτύπων γιγνομένη σωμάτων, ἠχὼ δὲ ἦχος, ὑπὸ στερεῶν, καὶ ἀντιτύπων σωμάτων ἀντανακλώμενος, κἀπὶ τὸ προέμενον αὖθις ἐπανιών· ἡ δὲ ῥὶν πάντων αἰσθάνεται τῶν ὀσφραντῶν, οἷον δυσοσμίας, καὶ εὐοσμίας, ἥγε μὴν γλῶσσα ἅμα τῷ ὑπερώῳ τῶν γευστῶν διακρίνει τοὺς χυμοὺς, οἷον τὸ γλυκὺ, τὸ πικρὸν, τὸ δριμὺ, τὸ ὀξὺ, τὸ στρυφνὸν, τὸ αὐστηρὸν, καὶ τὰ τοιαῦτα· ἡ δὲ χεὶρ ἁπτομένη τῶν σωμάτων, διορίζει τήν τε ποσότητα, καὶ ποιότητα, τό, τε ψυχρὸν, καὶ θερμὸν, τὸ ὑγρὸν, καὶ ξηρὸν, τὸ σκληρὸν, καὶ μαλακὸν, τὸ λεῖον, καὶ τραχὺ, τὸ βαρὺ, καὶ κοῦφον.



ΠΕΡΙ᾽ ΔΥΣΜΟΡΦΩΝ, ΚΑΙ᾽ ΤΕΡΑΤΩΔΩ͂Ν.

Ungestalte und Mißgeburten.

§. 47.

Τῶν ἀνθρώπων οἱ ἄμορφοι, καὶ τερατώδεις τῶν μὴ τοιέτων διαφέρεσι τῷ τε σώματι, καὶ τῷ κοινῷ σχήματι· τοιε͂τός ἐςιν ὁ ἄγριος γίγας, ὁ νάννος, ὁ δίσωμος, ὁ διχέφαλος, καὶ τὰ τοιαῦτα τερατώδη· τέτοις προσεπαριθμε͂νται ὁ μεγαλοκέφαλος, ὁ μεγάριν, ὁ πρόχειλος, ὁ ςομώδης, ὁ κυφὸς, εἴτε κυρτὸς, ὁ βλαισὸς, εἴτεν ῥαιβοσκελὴς, ὁ φοξὸς, εἴτε κωνοκέφαλος, ἅμα τῷ φαλακρῷ· τέτων δὲ τὰ ὀνόματα ἔτωθασ με͂ χάριν ἐνταῦθα παρατίθενται, γνώσεως δ᾽ ἕνεκα τῶν πραγμάτων.

Mißgeburten und Ungestalte sind, die mit dem Leibe von der gemeinen Gestalt abweichen; als da sind: der ungeheure Riese, der Zwerg, der Zweyleibige, der Zweykopf, und dergleichen Unformen. Zu diesen werden gezählet: der Großkopf, die Großnase, das Wurstmaul, der Paußbacke, der Schieler, der Krummhals, der Kropfichte, der Höckerichte, der Dollfuß, der Spitzkopf, mit dem Kahlkopfe. Diese Wörter setzen wir nicht her, Andere damit auszuspotten, sondern um der Sachen Erkenntniß willen.

ΠΕΡΙ᾽ ΓΕΝΕΑΛΟΓΙ᾽ΑΣ.

§. 48.

᾽Ανιόντες μὲν, ἀπαριθμε͂μεν τὴν γενεαλογίαν ὧδε, πατὴρ, ἢ μήτηρ· ὅθεν πατρῷος, ἢ μητρῷος·

εἶτα πάππος, ἢ πρόγονος, ἀφ' ἓ παππῷος, ἢ παππικός. ἀπὸ τέτε προπάτωρ, ἢ μητροπάτωρ, ἢ πατροπάτωρ, ἢ μητρομήτωρ· τελευταῖον πρόπαππος, ἢ ἀπόπαππος, ἢ πρόγονος τέταρτος, καὶτ. κατιόντας δ' ἕτω γενεαλογητέον: υἱὸς, ἢ θυγάτηρ· ἔπειτα ἀπόγονος, ἢ ἔγκονος· μετὰ ταῦτα προέγγονος, καὶ ἕτως ἀπέγγονος, δισέγγονος, τρισέγγονος, καὶτ. ἐκ δὲ πλαγίε ἕτως, ἀδελφὸς, ἢ αὐτάδελφος, ἢ ὁμομήτριος ἀδελφὸς, ἢ ὁμογάστριος, ἢ ὁμοπάτριος· εἶτα θεῖος πρὸς πατρὸς, ἢ μητρός,. καὶτ. ἢ ἀδελφιδῆς, ἢ ἀδελφόπαις, ἢ θυγατριδῆς, ἢ θυγατριδῆ, καὶ τ. λ.

ΠΕΡΙ' ΓΕΩΡΓΙ'ΑΣ. — Der Feldbau.

§. 49.

Ὁ μὲν γεωργὸς τὲς μὲν βόας τῷ ζυγῷ, ὃς τῷ ῥυμῷ συνδεῖται, διὰ τῶν ζευγλῶν συζευγνύει, τῇ μὲν λαιᾷ τὴν ἐχέτλην κατέχων, τῇ δὲ δεξιᾷ τὸν βεπλῆγα, δι' ὃ τῷ μὲν ἄνω ἐπικειμένῳ κέντρῳ τὲς βόας κεντεῖ, τῷ δὲ κάτω περιτεθειμένῳ ξυστῆρι τὴν ὕννιν, καὶ τὸν γύην ἀποκαθαίρων, τὰς βώλες ἀπωθεῖ· τῇ δὲ ὕννει, καὶ τῷ γύῃ τὴν γῆν διακόπτων. ἥτις πρότερον τῇ κόπρῳ κεκόπριςαι,

Der Ackersmann spannet die Ochsen vor den Pflug, und mit der Linken die Pflugsterze, mit der Rechten die Reude haltend, womit er die Erdschollen beyseits räumet, pflüget er mit der Pflugschaare und dem Pflugeisen die Erde, die zuvor mit Mist gedünget worden ist, und machet Furchen. Alsdann säet er den Saamen und eget ihn mit der Ege. Der Schnitter schneidet (mä-



αὔλακας διατέμνει· μετὰ δὲ, τὰ σπέρματα καταβαλὼν, βωλοκοπεῖ τῷ βωλοκόπῳ· ὅγε μὴν θεριστὴς τῇ δρεπάνῃ τὸ λήϊον, εἴτουν τοὺς ὡρίμους τῶν σταχύων θερίζει· εἶτα θώμιξιν αὐτοὺς δεσμεύει, δεσμευθέντες δὲ, δράγματα καλοῦνται· ταῦτα δὲ συλλέγων τε, καὶ συνδέων, τοὺς ἰούλους, εἴτουν ἀμάλλας ποιεῖται· ἀμάλλαι δὲ τῶν δραγμάτων λέγονται αἱ δεσμαί· ὁ δ' ἀλοεὺς τῇ μὲν μάστιγι ἐπὶ τῆς ἅλω τὸν σῖτον, καὶ τὰ λοιπὰ ἀλοᾷ, τῷ δὲ προκάνῳ, εἴτε λικμητηρίῳ πρῶτον, ἔπειτα τῷ πτύῳ λικμᾷ· ᾧ δὴ καὶ τοὺς ἤδη ἐκκριθέντας κόκκους συλλέγων, ἐπισωρεύει· κᾆτα ἐς σάκκους ἐμβάλλων, εἰς τοὺς σιτῶνάς τε, καὶ ἀποθήκας φέρων, ἐναποτίθησι· τά γε μὴν ἀποκριθέντα ἄχυρά τε, καὶ κάρφη ἐς τὰς ἀχυρμιὰς ἀγείρων, ἐγκατακλείει· ὁ χορτοκόπος δὲ σχεδὸν ποιεῖ χόρτον ἐν τῷ λειμῶνι. χλορὸν μὲν αὐτὸν χορτομα-

het) die zeitigen Feldfrüchte mit der Sichel, sammelt Hampeln, und bindet Garben. Der Drescher drischt mit dem Drischel auf der Scheuntenne das Korn, wirfts mit der Wurfschaufel: und also, wenn die Sprou und das Stroh abgesondert sind, fasset er es in in Säcke. Der Mader machet auf der Wiese Heu, das Gras mit der Sense abhauend; er rechet es mit dem Rechen, machet Schober mit der Heugabel, und führet es mit Fudern auf den Heuboden zusammen.

τῶν

νῶν τῇ χορτοδρεπάνῃ. ξηρανθέντα δὲ τῷ ξύςρῳ συλλέξας, καὶ τῷ δικράνῳ συσσωρεύσας, τῷ ὀχήματι εἰς τὸ χορτοδοχεῖον φέρει.

ΠΕΡῚ ΚΤΗΝΟΤΡΟΦΊΑΣ.

Die Viehzucht.

§. 50.

Ἡ γεωργικὴ, καὶ ἡ κτηνοτροφικὴ τῶν βασιλέων, καὶ ἡρώων ἦν τὸ πάλαι· ἤδη δὲ τῶν ἐσχάτων τε, καὶ χωρικῶν μόνον ἀνθρώπων ἀσχολία ὑπάρχει· ἀλλ' ὁ μὲν βουκόλος, εἴτε βουφορβὸς, τῶν βουστασίων τὴν ἀγέλην τῇ σάλπιγγι ἐκκαλῶν, ἐπὶ νομὰς ἐλαύνει· ὁ δὲ μηλοβότης, εἴτουν ποιμὴν τὴν ποίμνην ποιμαίνει, τῷ μὲν αὐλῷ, καὶ τῇ πήρᾳ, καὶ δὴ καὶ τῇ καλαύροπι περιβεβλημένος, τὸν δὲ μολοσσὸν κατὰ τῶν λύκων, τῷ τριβόλῳ τοῦ δερραιάμβου πειθόμενον, μεθ' ἑαυτοῦ ἕλκων· οἱ μὲν δὴ σύες, εἴτουν χοῖροι ἐν τῇ συβοσίᾳ, εἴτε συφεῷ σι-

Der Feldbau und die Viehzucht war vor uralten Zeiten der Könige und Helden, heutiges Tages ists allein des niedrigsten Pöbels Angelegenheit. Der Kuhhirte bläst das Vieh aus den Ställen mit dem Kühhorne, und führet es auf die Weide. Der Schäfer weidet die Heerde mit der Sackpfeife und Hirtentasche, wie auch mit dem Hirtenstabe versehen; den Rüden, (Schaafhund), welcher wider die Wölfe mit dem stachelichten Halsbande bewaffnet ist, bey sich habend. Die Schweine werden aus dem Troge des Schwein-



τευόμενοι, πιαίνονται· ὁ δὲ τέτων βοσκὸς συφορβὸς καλεῖται, καὶ συβώτης· ὁ δ' ἀγρονόμος, ἐμὴν ἀλλὰ καὶ ὁ ποιμὴν ἀμέλγοντες, ὁ μὲν κατὰ πέλλης τὰς τῆς βοὸς θηλὰς, παρὰ τῇ φάτνῃ ἱσταμένης, ὁ δὲ τὰς ἀμνάδας τε, καὶ αἶγας ἐν τοῖς σηκοῖς. βετυροκομᾶσι, καὶ τυροκομᾶσιν· ἀλλὰ τὸ μὲν βέτυρον, τᾶ γάλακτος ἐν τῷ βετυρικῷ καταπτισσομένε σκεύει, ἀπεργάζονται, τυρὸν δὲ τὸν ἄριστον ἐκ τᾶ κατὰ τὸ γάλα ἄνθες. εἶτεν πίαρος, τῇ πιτύα ξυμφυρομένε, ἀποπηγνύεσιν· ἐκ δὲ τᾶ ἤδη ἐκπιεσθέντος, καὶ ἀποβετυρισθέντος γάλακτος τὸν βετύρετε, καὶ λίπες πάντη ἀμοιρᾶντα τυρὸν ἀποτελᾶσιν· ἀποκείρεται δὲ τὸ τῶν προβάτων ἔριον, ἐξ ἕ, ποικίλως προπαρασκευασθέντος, ποικίλα τεχνάζονται ἐνδύματάτε, καὶ στρώματα, καὶ ἄλλα διάφορα.

stalles gemästet. Die Mayerin (Bäuerin) melket die Euter der Kuh an der Krippe über dem Melkschaff (Melkkübel), und machet im Butterfasse Butter aus dem Milchrahme, und aus der Lab die Käse. Den Schaafen wird die Wolle abgeschoren, aus welcher allerley Kleider gemacht werden.

ΠΕΡΙ' ΜΕΛΙΤΤΟΥΡΓΙ'ΑΣ. — Der Honigbau.

§. 51.

Αἱ μέλιτται σμῆνος ἀποπέμπουσαι, βασιλέα αὐτῷ προσεπιψηφίζονται· τὸ δὲ, ἀφιπτάμενον, τῷ μὲν τοῦ χαλκείου ἀγγείου κωδωνισμῷ αὖθις ἀνακαλεῖται, καινῷ δ' ἐγκατακλείεται κυττάρῳ, εἴτε σίμβλῳ· αὗται δὴ καὶ τὰ ἑξαγώνια σοφῶς πως ἐξεργάζονται καλυμμάτια, ἅπερ μελιττώματος ἀποπληροῦσι, μελιτουργοῦσι· καὶ δὴ καὶ τὰ μελίκηρα, ἐξ ὧν τὸ μέλι ἀποθλιβόμενον ἐκρέει· τὸ δ' ἀπολειπόμενον τῶν μελικήρων, τῷ πυρὶ ἐκτηκόμενον, κηρὸς ἀποκαθίσαται.

Die Bienen schwärmen, und geben dem Schwarme einen Weiser (König) mit. Derselbe wird, wenn er wegfliegen will, mit dem Klange eines Beckens zurückgebracht, und in einen neuen Stock gefasset. Sie bauen sechseckichte Zellen, füllen dieselben mit Seime, und machen Honigkuchen, aus welchen der Honig fließt. Die Gewerke, am Feuer geschmelzet, werden zu Wachs.

ΠΕΡΙ' ἈΛΕΤΡΟΠΟΙΙ'ΑΣ. — Das Mühlwerk.

§. 52.

Ἐν τῷ μύλῳ λίθος ἐπὶ λίθου, τοῦ τροχοῦ περιαχθέντος, στρομβούμενος, τοὺς πυροὺς, ἡ ῥέμα ἐκ τοῦ ἀλετῶνος διὰ τῆς χώνης ἐγχεομένουςτε, καὶ καταπίπτοντας, κατα-

In der Mühle, läuft ein Stein auf einem Steine durch ein umtreibendes Rad, mahlet (zermalmet) die durch den Trichter ausgeschütteten Körner, und scheidet die



τρίβει, καὶ ἐς ἄλευρον ἀπολεπτύνει· τούτου δὲ τὸ πίτυρον ἀποκρινόμενον, τῇ κίςῃ διὰ τοῦ ἐκτινάγματος ἐγκαταπίπτει, διολισθαῖνον· ὑπῆρχον δὲ καταρχὰς οἱ μύλοι ἐγχειρίδιοι, εἴτε χειρόμυλοι· ἔπειτα ὀνικοί κατα μύλοι ἔνυδροι, εἴτε ὑδρόμυλοι, καὶ ναυτικοί· καὶ τελευταῖον πτερωτοί, εἴτουν πνευματικοί ἐφευρεθέντες, ἐτεχνεύθησαν.

Kleyen, die in den Kasten fallen, von dem Mehle, das durch den Beutel stäubet. Eine solche Mühle ist erstlich die Handmühle gewesen; hernach die Roßmühle; ferner die Wassermühle, und die Schiffmühle; endlich die Windmühle.

ΠΕΡΙ' 'ΑΡΤΟΠΟΙΙ'ΑΣ.

Das Bäckerwerk.

§. 53.

Ὁ Ἀρτοποιὸς, εἴτε μάκτης τῇ μὲν κρησέρᾳ, εἴτουν ἀλευρωτήσει τὸ ἄλευρον διασήθει, τοῦ πιτύρου μὲν ἀποκρίνων. τῇ δὲ μάκτρᾳ αὐτότε, καὶ τὴν ζύμην ἐντιθεὶς, καὶ τὸ ὕδωρ προσεπιχέων, φύρειτε, καὶ ζυμοῖ εἴτε τῇ ξυλίνῃ σπάθῃ: εἴτ' ἄλλῳ τῳ τρόπῳ, καὶ οὕτω τὴν μάζαν ποιεῖται· ἐκ δὲ τῆς μάζηςτε, καὶ τοῦ

Der Bäcker beutelt das Mehl mit dem Mehlsiebe (Raiter), und schüttet es in den Backtrog; alsdann gießt er Wasser zu, machet einen Taig, und knätet ihn mit dem Knätscheite; hernach formet er Brodlaibe, Kuchen, Semmeln, Brezeln, u. d. gl. Nach diesem leget er sie auf die Backschaufel, und schießt sie

φυράματος σχηματίζει, εἶτεν πλάττει ἄρτες, πλακᾶντας, σεμιδάλεις, σπείρας, καὶ διάφορα ἄλλα· ἅπερ ἐκτελεσθέντα, τῷ ῥήμῳ ἐπιτιθέμενα, διὰ τᾶ προπνιγέε τῷ κριβάνῳ, εἶτεν κλιβάνῳ ἐμβάλλεται, ὃς πρότερον τῷ πυρφόρῳ τᾶτε πυρὸς, καὶ τῶν ἀνθράκων ἀποκαθαίρεται· ἅτω δὴ τᾶτε ἄλλα, καὶ αὐτὸς ὀπτᾶται ὁ ἄρτος, ἔξω μὲν πλάκα, ἔσω δὲ φέρων ψίχα· τῶν γεμὴν τεμνομένων ἄρτων τὰ τμήματα, τεμάχια, τὰ δὲ τῶν τεμαχίων, θρύμματα, τὰ δὲ τᾶτων, ψιχία προσαγορεύεται· ἀλλὰ σπείρειν μὲν τὴν γῆν, καὶ ἄρτον ὀπτᾶν τὰς ἀνθρώπας ἐδίδαξεν ἡ θεὸ Δημήτηρ, ἣ καὶ τὴν κριθέραν εὗρεν. Ἄννος δ'. ὁ Αἰγύπτιος τὸν κλίβανον, πρὸς τὸ τὰς ἄρτας, καὶ τ' ἄλλα ὀπτᾶν ἐφευρεῖν λέγεται.

in den Backofen durch das Ofenloch: doch zuvor scharret er mit der Ofenkrücke das Feuer und die Kohlen heraus, die er unten zusammenwirft. Und also wird Brod gebacken, welches außen eine Rinde, und inwendig die Brosam hat.

ΠΕΡΙ ʽΑΛΙΕΥΤΙΚΗ͂Σ.

Die Fischerey.

§. 54.

Οἱ ἁλιεῖς, εἴτε ἀσπαλιευταὶ διαφόρως ἁλιεύοντες, τὲς ἰχθύας ἁλίσκεσιν· ἤτοι γὰρ σαγήνῃ, ἢ κύρτῳ, ἢ γρίπῳ, ἢ ἀμφιβλήςρῳ, ἢ δικτύοις, ἢ βόλῳ, ἢ ἀγκίςρῳ, ἢ καὶ ἄλλως· ἀλλ᾽ ἐπὶ τε̃ αἰγιαλε̃, ἢ ἐν τῇ κύμβῃ, εἴτεν ἁλιευτικῷ πλοίῳ πολλάκις ἐςῶτες, τὸ μὲν ἄγκιςρον, τε̃ καλάμε διὰ τε̃ μίτε ἐξαρτώμενον, τῷ δελέατι περιβάλλοντες καὶ περιελίττοντες, ἐν τῇ θαλάττῃ χαλῶσι, καὶ ἠγκιςρωμένες ἁλίσκεσι τὲς ἰχθύας· τὸν δὲ βόλον, τῆς κάμακος ἐκκρεμάμενον, τοῖς ὕδασιν ἐμβάλλοντες, ἁλιεύεσι, τὲς ἰχθῦς αἱρε̃ντες τε̃ δὲ τοικύρτε, νυκτὸς τῇ θαλάσσῃ ἐγκαταδυομένε, τὰ τῆς ἁλείας περαίνεται ἤγε μὴν κάλπη ἀγρεύεται τῇ κολοκύνθῃ.

Der Fischer fängt Fische: entweder am Ufer mit der Angel, welche von der Angelruthe am Faden herabhängt, und an welchem die Speise (das Köder) klebet, oder mit dem Bäre, welches an der Stange hangend ins Wasser gelassen wird; oder auf dem Kahne mit dem Netze (Zuggarne); oder mit der Reusse, welche über Nacht eingesenkt wird.

ΠΕΡΙ' ὈΡΝΙΘΟΘΗΡΕΥΤΙΚΗ͂Σ.

Der Vogelfang.

§. 55.

Ὁ ὀρνιθοθήρας, εἴτε ὀρνιθοθηρευτὴς ὀρνιθοθηρᾷ, ἤτοι ἀλωὰν κατασκευάζων, καὶ τὰ ἀγρευτικὰ ἐπ' αὐτῆς τῶν δικτύων ἱςὰς, καὶ τὸ δέλεαρ αὐτοῖς προσπαραβάλλων, αὐτὸς δ' ἐν φωλητηρίῳ, εἴτε φωλείῳ φωλεύων, καὶ ὅτω, τῷ θελκτηρίῳ μέλει τῶν παλευτριῶν, εἴτε ἐπαγωγῶν τιθασσῶν ὀρνίθων τὰς ἀγρίας παλεύει, εἴτουν ἐπάγεται, ὧν αἱ μὲν ἐπὶ τὴν ἀλωὰν τρέχουσι, δελεαζόμεναι, αἱ δὲ τῇ κυρτίδι. εἴτε οἱ κίσκῳ ἐγκατακλειόμεναι, ἁλίσκονται· ταύτῃ δὴ οὖν τὰς ὑπεριπταμένας τῶν ὀρνίθων, τῷ δελεάσματι προσιπταμένων, τοῖς δικτύοις συγκαλύπτων, ἁλίσκει· ἢ βρόχους τείνων, ἐξ ὧν αἱ ὄρνιθες ἐκκρεμαννύμεναι, ἀπάγχονται· ἢ τοὺς ἰξώδεις τῶν καλάμων τῇ στάλικι, εἴτουν ἰξευτηρίῳ εὐστόχως ἐπιτιθείς,

Der Vogelsteller richtet einen Lockheerd, leget das Vogelgarn darauf, streuet die Atz, und sich in die Hütte verbergend locket er die Vögel mit dem Gesange der Lockvögel, welche theils auf dem Heerde laufen, theils in Kesichen eingeschlossen sind; und also überfällt er mit dem Garne die vorbeyfliegenden Vögel, indem sie auf die Atz fallen: oder er leget Schlingen, in welchen sie sich selbst erhenken, und erwürgen: oder er stecket Leimruthen auf die Leimstange: auf welchen sie die Federn verwickeln, daß sie nicht davon fliegen können, und zur Erde fallen: oder er fängt sie mit dem Kloben, oder mit dem Meisenschlage.

ἐφ᾽ ὧν ἀπερισκέπτως ἐκεῖναι καθήμεναι, καὶ, τῶν πτερῶν τῷ ἰξῷ περιεμπλεκομένων, ἀποπτῆναι μηκέτι δυνάμεναι, εἰς γῆν καταπίπτουσιν· οὐ μὴν ἀλλὰ καὶ τῇ κάμπτει κατεχομένας, ἢ τῇ δελεάστρᾳ, εἴτουν παγίδι ἐγκλειομένας συλλαμβάνειν αὐτὰς πολλάκις μεθοδεύεται.

ΠΕΡΙ' ΘΗΡΕΥΤΙΚΗ͂Σ. Die Jagd.

§. 56.

Ὁ μὲν θηρευτὴς, εἴτε κυνηγέτης θηρεύει, κυνηγῶν τὰ θηρία, τοῦ δάσους πρότερον εμπεριβαλλομένου τε, καὶ περιφραττομένου ταῖς ἄρκυσιν, ἐπ᾽ ἀρκυστασίων, εἴτουν σαλίκων διατεινομέναις· τῶν δὲ κυνῶν ὁ μὲν ἰχνευτικός τε, καὶ εὔριν, εἴτε εὐόσφρητος ἰχνεύει, ἐνηλατῶν τὰ θηρία, καὶ τοῖς ἴχνεσιν, ἢ τῇ ὀσφρήσει τεκμαιρόμενος. εἴπερ τι, καὶ ὅπου τυγχάνουσι διατρίβοντα, ζητεῖ, καὶ εὑ-

Der Jäger jaget das Wild, indem er den Wald mit Garnen umstellet, welche mit Garnstangen aufgestellet werden. Der Spürhund, (Stäuber), spürt das Wild aus, oder stäubert es mit dem Geruche auf; der Windhund verfolget es. Der Wolf fällt in die Grube; der fliehende Hirsch fällt ins Netz. Der Eber wird mit dem Jägerspieße gefället. Der Bär wird von den Hun-

ρίσκει· οὐδὲ θηρευτικὸς τὰ ἤδη εὑρεθέντα διώκων, ἁλίσκει· ὁ μὲν λύκος τῷ βόθρῳ ἐμπίπτων, συλλαμβάνεται· ἡ δ' ἔλαφος φεύγουσα, τοῖς δικτύοις ἐμπεριπλέκεται· διαπείρεται δ' ὁ κάπρος τῷ προβολίῳ· ὑπὸ δὲ τῶν κυνῶν ἡ ἄρκτος δακνομένη, σφόδρως τῇ κορύνῃ βάλλεται· ἂν δέ τι τούτων ἐκφύγῃ, διαδρὰν, σωτηρίας τυγχάνει.

den gebissen, und mit der Keule geschlagen. Was durchgeht, das entwischt, wie hier der Hase und der Fuchs.

ΠΕΡΙ' ΚΡΕΟΥΡΓΙ'ΑΣ. Die Schlachtbank.

§. 57.

Ὁ κρεουργὸς, εἴτε κρεοδαίτης κτείνει μὲν τῶν βοσκημάτων τὰ εὐτραφῆ, καὶ πιμελῆ· τὰ γὰρ ἰσχνὰ, καὶ λειπόσαρκα οὐκ ἐπιτηδείως πρὸς βρῶσίν τε, καὶ τροφὴν ἔχει· ἤτοι καταβάλλων αὐτὰ τῷ ῥοπάλῳ, ἢ τῇ κοπίδι ἀποσφάττων· τὰ δὲ φονευθέντα ἐκδέρει τε, καὶ κρεουργηδὸν διατέμνει, οὗ γενομένου, κρέα ἐν τῷ κρεωπωλείῳ πράσιμα, εἴ-

Der Fleischer (Metzger) schlachtet (metzelt) das Mastvieh, (das magere tauget nicht zum essen), er schlägt es mit der Barte, oder sticht es mit dem Schlachtmesser ab, zieht die Haut ab, und zerstücket es: worauf er das Fleisch in der Fleischbank feil hat. Das Schwein senget er mit Feuer oder brühet es mit heißem Wasser,

τῶν ὤνια φέρων, προτίθησι καὶ ὅτω πιπράσκει, κρεοδοτῶν· τὸν δὲ σὺν πυρὶ, ἢ ὕδατι ζέοντι ψιλοῖ, ἐκτίλλων, εἴτουν μαδίζων αὐτοῦ τὰς τρίχας· ἔτι δὲ τοὺς τεταριχευμένους κωλῆνας, τὰς πέρνας, εἴτε πετασῶνας, καὶ τὰς ταριχείας ἐπιτηδεύει ἐπὶ τούτοις διαφόρους; ἀλλάντας, ἀλλάντας ὑείους, ἀλλάντας αἱ ματοπληθεῖς, ἢ αἱ ματίας, ἀλλάντας ἢ ἡπατοπληθεῖς, ἢ χόλικας, καὶ λουκανικήν· τὸ δὲ στέαρ, καὶ ἡ πιμελὴ, ἤτοι ἐκτηκόμενα, πρὸς διάφορον ἄλλην ἥκει χρῆσιν, ἢ ἁλσὶ πεπασμένα, πρὸς τροφὴν ἐστι χρήσιμα, ἁλιστὰ γενόμενα· τῶν κρεῶν δὲ τὰ ἁλιστὰ τάριχος καὶ γίγνεται, καὶ λέγεται, ἐσθίεται δὲ τὰ πολλὰ, κρέατος ἀπόντος· ὅθεν τὸ τῆς παροιμίας, κἂν μὴ κρέας παρῇ, καὶ ταρίχῳ στερκτέον.

und machet Hammen, (Schultern), Schinken, und Speckseiten; über das allerley Würste, grosse Würste, Schweißwürste (Blutwürste), Leberwürste, Bratwürste. Das Schmeer und Unschlitt wird ausgeschmelzet (ausgelassen.)

ΠΕΡΙ ΜΑΓΕΙΡΙΚΗΣ.

Das Kochwerk.

§. 58.

Ὁ μὲν ταμίας τὰ ἀπόθετα τῶν ὀψωνίων ἐκ τοῦ ταμείου φέρων, τῷ μαγείρῳ παραδίδωσιν· ὁ δὲ παραλαβὼν, ἐυμεθόδως βρώματα, εἴτε ἐδέσματα μαγειρέυει ποικίλα· τῶν μὲν ὀρνίθων τὰς οἰκεῖν κτεινομένας τρόπῳ ἐκτίλλει πρῶτον, εἶτα διασχίζων, ἐξεντερίζει· ἀπεκδύει δὲ τοὺς λαγωοὺς, ἀποδέρων· τοὺς δὲ ἰχθύας λεπίζει τε, καὶ ἀποῤῥαχίζει· ἀλλ' ἔστι μὲν ἃ τῶν κρεάτων διαπείρων, τῷ ὑείῳ διακεντᾶπως λίπει, ἢ βουτύρῳ, ἢ ἄλλῳ τῳ λίπει φρύγει· ταῦτα δὴ προπαρασκευασθέντα ταῖς χύτραις ἐνθεὶς, καὶ ταῖς κακκάβαις, ἐπὶ τῆς ἐσχάρας, εἴτουν ἑστίας, πυρὸς ὑποκαιομένου, ἕψει· τῇ δὲ ζωμηρύσει, εἴτε τριπτῆρι, εἴτε γλωσσαρίῳ ἐξαφρίζει· τὰ δ' ἑφθὰ τῶν ἐδεσμάτων τοῖς ἀρώμασιν ἀρτύει, καρυκέυων,

Der Speisemeister giebt aus der Speisekammer die Eßwaaren heraus. Dieselben empfängt der Koch, und kochet mancherlei Speisen. Die Vögel rupfet er erstlich, und weidet sie aus; die Fische schuppet und spaltet er; einiges Fleisch spicket er vermittelst der Spicknadel; die Hasen streifet er ab. Hernach siedet er in Töpfen und Kesseln, auf dem Heerde, und schäumet es mit dem Schaumlöffel. Das Gesottene würzet er mit Gewürze, welches er mit dem Stempfel im Mörser zerstößt, oder reibt es auf dem Reibeisen. Einiges bratet er an Bratspießen, und am Brater, oder über dem Roste; oder röstet (bäckt) es in der Pfanne, über dem Dreyfuße. Küchengeräthe sind über das:

ἅπερ τῷ ὑπέρῳ, εἴτε τριβιδίῳ ἐν τῷ ὅλμῳ, ἢ τῇ θυείᾳ πτισσόμενα, ἀπολεπτύνει. ἢ τῇ κνήστει τρίβων, λεπτοκοπεῖ· ἔςι δ' ἃ τοῖς ὀβελίσκοις, ἢ τῷ αὐτομάτῳ περιςρεφόμενα, ἢ ἐπ' ἐσχαρίδος τιθέμενα ὀπτᾷ· ἢ τῷ τηγάνῳ ἐπὶ τρίποδος ἐμβαλλόμενα, καταφρύγει, εἴτουν τηγανίζει· μαγειρικὰ δὲ σκεύη πρόςτε ἄλλοις, καὶ ἡ ἀρπάγη ἐςὶν, εἴτουν τὸ πυρφόρον, ὅγε καὶ πύρανον, καὶ ἐσχαρεὼν λέγεται, τὸ ὑδρεῖον, εἴτουν μονόξυλον, ἐν ᾧ τὰ τρυβλία, οἱ πίνακες, αἱ παροψίδες, καὶ αἱ λεκάναι ἐκπλύνονται, ἡ πυράγρα, ἡ μάχχιρα, ὁ τομεὺς, ὅ, τε κόφινος, καὶ τὸ σάρωθρον, εἴτε κόρηθρον.

die Ofenkrücke, die Glutpfanne, die Spühlgelte, worinn die tiefen und flachen Schüsseln gespühlet werden, die Feuerzange, das Hackmesser, der Seiher, der Korb und Besen.

ΠΕΡΙ' ΤΡΥΓΗΤΟΥ'. — Die Weinlese.

§. 59.

Ὁ οἶνος οἰνουργεῖται ἐν τῷ ἀμπελῶνι, ἔνθα παραφύεται μὲν, εἴτουν μοσχεύεται ἡ ἄμπελος,

Der Wein wächst in dem Weinberge, allwo die Weinstöcke fortgepflanzet, und mit Wei-

ὅθεν μοσχεύματα τὰ εἰς φυτείαν κατορωρυγμένα κλήματα, τοῖς δὲ λύγοις ἐπὶ τῶν δένδρων, ἢ ἐπὶ χαράκων, εἴτουν παραπεπηγμένων καμάκων, ἢ ἐπὶ κορυφῶν ἀναδεῖται, ἵνα τοῖς ἀνέμοις ἀντέχουσα, μὴ καταπίπτῃ, κατακλωμένη. παραγενομένου δὲ τοῦ τρυγητοῦ, τρυγητῆρας μὲν ὁ ἀμπελουργὸς μισθούμενος, συκαφίζει, εἴτουν τρυγᾷ τοὺς βότρυας, τοῖς κοφίνοις δ' αὐτοὺς συμφορῶν, τῷ ληνῷ, ἢ τῷ κάδῳ ἐμβάλλει· τοὺς δὴ ἐν τρυγηθέντας βότρυας οἱ μὲν ποσὶ τραποῦσιν, εἴτουν πατοῦσιν, οἱ δὲ τῷ ξυλίνῳ ὑπέρῳ, εἴτε τριβιδίῳ πτίσσοντες, κατατρίβουσι· καὶ οὕτως ὁ νέος ἐντεῦθεν ἐκρέει οἶνος, γλεῦκος ἀποκαλούμενος· τὰ δὲ λειπόμενα τῷ σαφυλοβολείῳ, εἴτουν τριπτῆρι κατασυμπιέζουσιν, ὡς ἂν καὶ εἰβραχύ τι ἐνυπελέλειπτο, ἀποστάξῃ, ἐκρεῦσαν· τὸ γεμὴν γλεῦκος, τῇ ὄρκῃ, εἴτε βίκῳ ἐμβαλλόμενον, ἐς τοὺς πίθους ἐναποχεῖ-

denruthen an die Bäume, oder an die Weinpfähle, oder an die Weinlatten, angebunden werden. Wann die Zeit den Wein zu lesen da ist, schneidet der Winzer die Trauben ab, trägt sie mit Butten zusammen, und schüttet sie in die Weinkufe. Darauf treten sie andere mit Füßen, oder stampfen sie mit einem hölzernen Stempel, und pressen den Saft auf der Weinpresse (Kelter) heraus, welcher Most genannt wird, und von dem Mostkufe (Schlauchfasse aufgefangen, in Weinfässer gefasset, mit einem Deckel zugedecket, (verspündet), und in die Keller auf Kanter geleget, zu Wein wird. Aus dem Fasse wird er mit dem Heber, oder mit der Faßröhre, (Pippe), an welcher das Hähnlein ist), wann es angezapfet ist, herausgelanget.



ται, πώματι σφηκεμένες, ἢ πωματιζομένες, οἵπερ ἐν τοῖς οἰνῶσιν, εἴτεν οἰνοθήκαις ἐφ' ὑποθεμάτων ἀποκατατίθενται· ὅπερ μετ' ἐπολὺ οἶνος ἀποτελεῖται, εἰς πόσιν ἁρμόδιος· ὅνπερ ἐκ τε πίθε ἤτοι τῷ σίφωνι ἐκμυζεντες, ἀρύομεν, ἢ διὰ τε ἀρυστῆρος, εἴτεν σύριγγος, ἐπιστόμιον ἐχέσης, ἐξαντλῶμεν, ἢ μεταγγίζομεν, ἢ καταςαμνίζομεν· τε ςομίε γὰρ περιςρεφομένε, τάχισθ' ὁ οἶνος ἐξορμᾷ, διαῤῥέων.

ΠΕΡΙ ΖΥΘΟΡΟΙΙΑΣ. Die Bierbräuerey.

§. 60.

Ὅπε οἶνος ἐκαρποφορεῖται, ἐνταῦθα πίνειν καταναγκάζονται ζῦθον, ὃς ἐκ βύνης, καὶ βρύε ἐν λέβητι ἑψημένων, σκευάζεται· εἶτα εἰς ληνὸν ἐγχυθεὶς, καὶ ψυχθεὶς, τοῖς καδίσκοις, εἴτεν βίκοις, ἢ ταῖς φυάλαις, εἰς τὲς ζυθῶνας διακομίζεται, εἰς τὲς ἐκεῖ πρέτοι

Wo man nicht Wein hat, trinkt man Bier: welches aus Malz und Hopfen im Kessel gesotten, hernach in Kufen gegossen, und, wenn es verkühlet, mit Gelten, (Kübeln), in die Keller getragen, und daselbst in Fässer gefüllet wird. Der Branntwein aus den

μασθέντας ἐγχεόμενος πίζει· τὸ μὲν δὴ πνεύμονον ἐκ τῶν σεμφύλων, ὥσπερ δὴ κἀκ τῶν τρυγῶν, κἀξ αὐτοῦ, εἰσβάλει, τοῦ οἴνου ἐν τῷ λέβητι, πῶμα ἐπικείμενον μετὰ σωλῆνος ἔχοντι, τῇ τοῦ πυρὸς ἀλέᾳ ἐξατμιζόμενον, καὶ ἄνω ἐπὶ τὸ κάλυμμα φερόμενον, διὰ τοῦ σωλῆνος ἐκεῖθεν καταρρέων, εἰς τὸ ὑποβεβλημένον ὑποστάζει σκεῦος, εἴθ' ὑέλινον εἴη, εἴτε κεραμεοῦν, εἴθ' ὁποιονοῦν· ὁ οἶνος μέντοιγε, καὶ ὁ ζύθος εἴπερ ἐκτραπέντα, εἰς ὀξύνην μεταπέσοι, τὸ ὄξος· ἐξ οἴνου δέ τοι, καὶ μέλιτος ἑψημένων, γίγνεται τὸ οἰνόμελι· ἀλλὰ ζύθον μὲν, εἴτουν κρίθινον οἶνον πρῶτος φέρεται ἑψήσας Διόνυσος, ὁ καὶ Βάκχος· ἀνατέμνειν δὲ, εἴτουν κλαδεύειν τὴν ἄμπελον ἐδίδαξε τοὺς ἀνθρώπους ὁ ὄνος, ὃς τὰ κλήματα ἀπέτραγεν, οὗ γενομένου, πλείους ὀφθαλμοὺς ἔφυσε, καὶ πολλαπλάσιον καρπὸν ἀπέδωκε·

Weinhefen in einen Kessel, über welchen ein Brennkolben gestellet ist, durch Kraft der Hitze heraus gezogen, tropfet durch die Röhre in das Glas. Wein und Bier, wenn es versauert, wird zu Essig. Aus Wein und Honig wird Meet gesotten.



προσέτι καὶ διαφόρων ὀπωρῶν, ἑψομένων, ἐφεύρηται, τεχνουργηθὲν τὸ σλιβόριον· ὅπερ λέγοιτ' ἂν οὐκ ἀπεικότως κοκκυμηλόπνευμα, καὶ ἁπλῶς ὀπωρόπνευμα.

ΠΕΡΙ ΣΥΜΠΟΣΙΟΥ, Die Mahlzeit.

§. 61.

Συμποσίου, εἴτε πότου εὐτρεπιζομένου, ἡ τράπεζα τοῖς τάπησιν, εἴτε περιστρώμασι πρῶτον, καὶ τῇ τραπεζίῳ ὀθόνῃ κοσμεῖται, ὑπὸ τῶν τρικλίνων στορεννυμένη, εἴτε στρωννυμένη· εἶτ' οὕτως ἐπιτίθενται ἁρμοζόντως οἱ δίσκοι, εἴτε δισκάρια, καὶ κυκλίσκοι, οἱ δοίδυκες, αἱ μάχαιραι, αἱ κρεάγραι, εἴτουν δίκρανα, τὰ ἐκ μαγεῖα, εἴτε χειρόμακτρα, ὁ ἄρτος, καὶ τὸ ἁλοδοχεῖον, ἢ ἁλαδόχον· τὰ μὲν δὴ ἐδέσματα ἐν λοπάσι, καὶ πίναξι, τὸ δ' ἀρτόκρεας ἐν μαζονομίῳ διακομίζεται· οἱ μὲν οὖν δαιτυμόνες ὑπὸ τοῦ ἑστιά-

Wann eine Gasterey angestellet wird, wird der Tisch (Tafel) mit Teppichen und dem Tischtuche von den Tafeldeckern gedecket, welche überdies die Teller, die Löffel, die Messer, mit den Gabeln, die Tellertüchlein, das Brod mit dem Salzfasse auflegen. Die Speisen werden in Schüsseln, die Pastete auf der Platte aufgetragen. Die Gäste, von dem Wirthe hinaufgeführt, waschen die Hände aus dem Handfasse, oder aus der Gießkanne über dem Handbecken, oder Gießbecken, und trocknen sie mit dem

τορος

τορος προσκεκλημένοι, εὐκαίρως παραγίνονται, τὰς δὲ χεῖρας νιψάμενοι ἐκ τοῦ προχόου ἐπὶ τῆς λεκάνης, ἀπομάττουσι τῷ χειρομάκτρῳ. κᾆτα παρὰ τῇ τραπέζῃ ἐπὶ τῶν καθεδρῶν περικαθήμενοι, ἀνακλίνονται· ὁ δὲ τραπεζοκόμος μιςύλλων, διανέμει τὸ ἀρτόκρεας, καὶ τὰ λοιπὰ βαθμηδὸν τῶν ἐδεσμάτων· προσέτι παρατίθεται ἐν τῇ τραπέζῃ, καὶ τὰ ἐμβάμματα· ὁ δ' οἰνοχόος ἐγχέων τὸν οἶνον ἐκ τοῦ ἀμφορέως, εἴτε κανθάρου, καὶ προχοΐδος, ἢ τῆς λαγήνου εἰς κύλικας, εἴτε κυάθους, ἐκπώματά τε, καὶ ποτήρια, ἅπερ ἐπὶ τῇ κυαθοφόρῳ ἐπίκειται, προσφέρει, ὀρέγων τοῖς δαιννυμένοις, καὶ αὐτῷ τῷ ἑςιάτορι· οἱ δὲ τὰς συνήθεις ποιούμενοι εὐπροσηγορίας, πίνουσιν, εὐωχούμενοι· περὶ δὲ τὸ τέλος, ἢ τὰ μέσα τῆς εὐωχίας, καὶ τῶν φιλοτησιῶν ἀπάρχονται· αὐτὰ δὴ ταῦτα κἀπὶ τοῦ ἀρίςου, καὶ

Handtuche; alsdann setzen sie sich auf die Stühle zu Tisch. Der Vorschneider zergliedert die Speisen, und leget sie vor. Zwischen das Gebratene werden allerley Brühen (Dunken) in Schüsselchen gesetzet. Der Schenke schenket das Getränk aus dem Kruge, oder Kanne, oder Flasche, in die Becher und Gläser ein; welche auf der Erden stehen, und überreichet es dem, der die Gastung hält, welcher den Gästen zutrinkt.

δείπνε, πλὴν τινων ἐκτε-
λεῖται.

ΠΕΡΙ' ΛΙΝΟΥΡΓΙ'ΑΣ. Die Flachsarbeit.

§. 62.

Τὸ λῖνον, καὶ ἡ κάνναβις, ὕδατι διειμένα, ϗ αὖθις ξηρανθέντα, ξηλίνῳ μαςιζόμενα, θλᾶται κλαςηρίῳ· τῶν δέ τοι λεπισμάτων ἀποτιναχθέντων, σιδηρῷ πέκεται, εἴτεν κτενίζεται κτενὶ, εἴτε ξανίῳ· ἀποκρινομένε δὲ τῦ ςυππείε, περὶ τὴν ἠλακάτην τὸ καθαρὸν ὑπὸ τῆς λινεργε, εἶτεν χερνήτιδος περιειλεῖται λῖνον· ἥτις τῇ μὲν ἀριςερᾷ τὸ πηνίον. εἶτεν νῆμα κατάγει, εἴτε ἐκπηνίζει, τῇ δεξιᾷ δὲ τὸν ῥόμβον, καὶ κόρυμβον, ἢ τὸν ἄτρακτον, περὶ ὃν ὁ σφόνδυλος, περιςρέφεται, νήθει, τέςτε κλωςῆρας, ϗ τὸ νῆμα ἀπεργαζομένη· τὰ δὲ πηνία ἐμβάλλεται τῷ κρεμβάλῳ, ε περιςρεφομένε, εἰς ῥόμβον συνάγεται, ὅθεν αἱ ἀγαθί-

Der Lein und Hanf, im Wasser geröstet, und wieder getrocknet, werden mit der Breche gebrochen, wo die Rinden hinwegfallen. Alsdann werden sie mit der Hechel gehechelt, da das Werch davon kommt. Der reine Flachs wird von der Spinnerin an den Rocken gebunden, welche mit der Linken den Faden spinnet, mit der Rechten das Spinnrad oder die Spindel, woran der Einspann (Spinnenwirbel) umdrehet. Die Fäden empfänget die Spuhle; von dannen werden sie auf die Weife (Garnhaspel) gehaspelt; daraus werden entweder Knänle gewunden, oder Strehnen gemacht.

δες μηρύονται. ἢ δεσμαὶ γίγνονται.

ΠΕΡΙ' ἹΣΤΟΥΡΓΙ'ΑΣ. Das Gewebe.

§. 63.

Ὁ ὑφάντης, εἴτε ἱςεργὸς τὰς ἀγαθίδας ἐξελίττων, εἰς τὸν ςήμονα προφορεῖται· τȣτον δ᾽ ἔπειτα περὶ τὸ ἀντίον, εἴτε ζυγὸν περιειλεῖ· ἐπὶ δὲ τȣ ἱςȣργείȣ καθήμενος, ὑφαίνει ȣτω. τȣ μὲν κέλλοντας, εἴτε ἰσόποδας πατῶν, τὰ δὲ πηνίσματα, εἴτε τȣς μίτȣς, καὶ σὺν τȣτοις τȣς ςήμονας ἀνάγων διὰ τȣτȣ, καὶ κατάγων· τȣτȣ γιγνομένȣ, τὴν κερκίδα, ἐν ᾗ ἡ κρόκη, διαπερῶν, τῷ δὲ κτενὶ ςρομβῶν, εἴτε πυκνῶν τὸ ὑφαινόμενον· καὶ ȣτως ἐξυφαίνει τὸ ὕφασμα, εἴτε ὀθόνητε, καὶ ἱςίον εἴη, εἴτ᾽ ἄλλοτι· ὡσαύτως δὴ καὶ ὁ ταλασιȣργὸς τὸ ἐξ ἐρίȣ ὕφασμα. εἶτȣν τὰ ῥάκη, καὶ ἄλλ᾽ ἄττα ἐξυφαίνει, ταλασιȣργῶν· ὁμόνον δ᾽ ἐκ λίνȣτε, καὶ

Der Weber zettelt das Garn an, und rollet es auf dem Weberbaume, und sitzend auf dem Weberstuhle, tritt er die Schemmel mit den Füßen. Mit den Zotten theilet er das Garn, und stecket dadurch den Weberspuhl, an welchem der Eintrag ist; und machet es dicht mit dem Weberkamme. Und also webet (machet er) die Leinwand. Also machet auch der Tuchmacher das Tuch aus der Wolle,

καννάβεως, ἀλλὰ δὴ καὶ ἐκ πάμβακος, εἴτε ἐριοξύλε διάφορα μὲν νήθεται νήματα, διάφορα δὲ ὑφαίνεται ὑφάσματα· ὅθεν διάφορα ἐνδύματα, καὶ ἄλλα πολλά.

ΠΕΡΙ' ΛΕΥΚΑΝΤΙΚΗ͂Σ.

Die Leinwand.

§. 44.

Τὰ ὀθόνια, εἴτε ἱςία ὕδατι ἐπιβρεχόμενα, ἡλιάζονται πρὸς τὸ λευκανθῆναι. ἐξ ὧν ἡ ἠπήτρια, εἴτε χερνῆτις ῥάπτει ἐχέσαρκα, εἴτ' ἐπενδύτας, χιτῶνας, χιτώνια, καὶ χιτονίσκες, ῥινόμακτρα, περιδέῤῥαια, εἴτε περιτραχήλια, καὶ νυκτερινὲς πίλες· ταῦτα δὲ ῥυπωθέντα, ὕδατι, ἢ κονίᾳ, ἢ σάπωνι ἀποπλύνεσαι, ἐκκαθαίρεσι πάλιν αἱ πλύντριαι, εἴτε πλύςριαι, τὲς ῥύπεςτε, καὶ κηλῖδας ἀποτριβόμεναι.

Die Lacken (Loden) werden mit aufgegossenem Wasser gebleichet, (gesonnet), bis sie weiß werden. Aus denselben nähet die Näherin Hemden, Nasentücher, (Schnupftücher), Krägen, Nachtmützen (Schlafhaben) u. d. gl. Diese, wenn sie unrein sind, werden von der Wäscherin mit Wasser, Lauge, und mit Seife wieder gewaschen.

ΠΕΡΙ ῬΑΠΤΙΚΗ͂Σ. Der Schneider.

§. 65.

Ὁ ἠπήτης, εἴτουν ῥάπτης διατέμνων τό τε ῥάκος, καὶ τἆλλα τῶν ὑφασμάτων τῇ ψαλίδι, συῤῥάπτει τῇτε ῥαφίδι, καὶ διβόλῳ νήματι, εἴτουν διμίτῳ· συῤῥάψας δὲ, τῷ ἐκπεπυρωμένῳ σιδηρίῳ ὁμαλίζει, εἴτε λεαίνει τὰ ῥάμματα, καὶ τὰς ῥαφάς· καὶ οὕτω πτυσσομένους χιτῶνας, ὧν κάτω αἱ πέζαι, εἴτε τὰ λώματα μετὰ τῶν κρασπέδων, τρίβωνας περιτραχηλίους, χειριδωτὰς τηβέννας, θώρακας, εἴτε περιθωράκια μετὰ σφαιρίων, εἴτε σφαιριδίων, καὶ χειρίδων, ἀναξυρίδας μετὰ λημνίσκων, περικνημίδας, εἴτε περισκελίδας, χειροθήκας, περιπόδια, περιβόλαια, καὶ διάφορα ἄλλα ἱματίων εἴδη ἀποτελεῖ· τοῦτ' αὐτὸ ποιεῖ καὶ ὁ διφθεροποιὸς, εἴτε νακοποιὸς, ἐνδερμάτων, εἴτε νακῶν διαφόρων ζώων, τὰς διφθέρας, εἴτουν ἔμποιμνα ἱμάτια συῤῥάπτων.

Der Schneider zerschneidet das Tuch mit der Scheere; und nähet es mit der Nadel und dem Zwirnfaden zusammen. Hernach bügelt er die Näthe mit dem Bügeleisen. Und also machet er gefaltete Röcke, an welchen unten der Saum mit dem Gebräme ist. Mäntel mit dem Kragen und Aermelröcke; Wämser mit Knöpfen und Aermeln; Hosen, zuweilen mit Bändern; Strümpfe, Handschuhe, Leibchen u. a. m. Also machet der Kirschner Pelzkleider aus Pelzwerke.

ΠΕΡΙ' ΣΚΥΤΟΤΟΜΙΚΗ͂Σ. — Der Schuster.

§. 66.

Ὁ πίσυγγος, εἴτεν σκυτεὺς, εἴτε σκυτοτόμος, καὶ σκυτοῤῥάφος προσφυῶς τε, καὶ εὐαρμόςως τὰ δέρματα περιτέμνων τῷ ἀρβήλῳ, εἴτεν σμίλῃ, διὰ τε͂ ὀπητίε, καὶ κνρωτε͂ μίτε, καὶ διμίτε ἐπὶ τε͂ καλόποδὸς συῤῥάπτει, κρηπῖδας, πέδιλα, σανδάλια, ἀρβύλας, ὧν ἄνωθεν μὲν τὸ κάλυμμα, κάτωθεν δὲ τὸ πέλμα, εἴτεν ἐμβὰς, ἑκατέρωθεν δ' αἱ λαβαὶ, τὰς κνημῖδας, εἴτεν πηλοβατίδας, τὰς ἀσκέρας, καὶ τἄλλα τῶν ὑποδημάτων τεχνεργῶν εἴδη.

Der Schuster machet vermittelst der Ahle und des Pechdrahts über dem Leisten aus Leder; welches mit dem Kneife (Kneipe) zugeschnitten wird, Pantoffeln, Schuhe, an welchen zu sehen ist; oben das Oberleder, (Uebergeschirr), unten die Sohle und zu beiden Seiten die Läpplein; Stiefeln und Halbstiefeln.

ΠΕΡΙ ΞΥΛΟΥΡΓΙΚΗ͂Σ. — Der Zimmermann.

§. 67.

Μέχρι μὲν τέτε τὴν δίαιταν, καὶ τὸν ἱματισμὸν τἀνθρώπε διήλθο-

Des Menschen Fülle und Hülle haben wir gesehen; nun folget die

μεν, ἐχομένως δ' ἐπὶ τὴν τέτε ἴωμεν οἴκησιν· καταρχῆς μὲν ἦν οἱ ἄνθρωποι ἐν ἐρήμοις τε, καὶ σπηλαίοις, ἐν σκηναῖς ἔπειτα, καὶ καλύβαις, εἶτ' ἐν σκηνώμασιν ἱςορῆνται διαιτώμενοι· τελευταῖον γεμὴν ἤδη οἴκες δειμάμενοι παντοδαπὲς, ἐν ἀυτοῖς οἰκῦντες, ἐπαναπάυονται· ὁ δὴ ἦν ξυλοτόμος, εἴτε ὑλοτόμος τέμνων τὸ δένδρον, κατασρωννίει, ὅπερ ὑλοτομεῖ μὲν, εἴτεν κορμάζει τῷ πελέκει, εἴτε ἀξίνῃ, τῶν δὲ κληματίδων, εἴτεν φρυγάνων ἀποκοπέντωντε, καὶ καταμεινάντων, τὸ τυλῶδες ἔπειτα ξύλον σχίζει, τῆ σφηνὸς ἐμβεβλημένε, ἐπικρέων τῷ ῥαιςῆρι, τὰ δὲ σχισθέντα τῶν ξυλαρίων συλλέγων, ἐπισωρεύει· τῆ δὲ ξυλεργῆ τῇ μὲν ῥυκάνῃ, εἴτε ἀξίνῃ τὰ ξύλα πελεκίζοντος, σκινδαλμοὶ ἀποπηδῶσι, καὶ πελεκύματα ἐκπίπτει, τῷ δὲ πρίονι ταῦτα πρίοντος, τὰ πρίσματα, τῇ δὲ ῥίνῃ ῥινεν-

Wohnung desselben. Erstlich wohnte man in Höhlen; hernach in Laubhütten oder Strohhütten; dann auch in Gezelten; endlich in Häusern. Der Holzhacker fället und behauet mit der Holzaxt die Bäume, davon die Reißhölzer überbleiben. Das knotichte Holz spaltert er mit dem Keile, welchen er mit dem Schlägel hineintreibt; und machet Holzhaufen. Der Zimmermann zimmert mit der Zimmeraxt das Bauholz; davon fallen die Späne; und säget es mit der Säge, davon die Sägespäne stäuben. Hernach leget er das Zimmerholz auf die Böcke, mit Hülfe der Winde, befestiget es mit Klammern, misset es mit der Richtschnur. Alsdann paaret er (fügt zusammen) die Wände, und füget die Balken mit Zimmernägeln.

τος, τὰ ῥινίσματα καταπίπτει· τὰς δὲ ταινίας, εἴτε δοκὰς ἐπὶ ὑποςατῶν, εἴτε κανθηρίων διατροχιλιῶν αἴρων, καὶ ἀγκτῆρσιν, εἴτουν σιδηραῖς αὐταῖς λαβαῖς συνδέων, καὶ συνείρων, συναρμονίζετε, καὶ γομφοῖ, τῇ ςάθμῃ ἀπευθύνων· τοὺς μὲν δὴ τοίχους συνάπτων, ἁρμόττει, τὰς δὲ δοκὰς, ἤτοι γόμφοις γομφοῖ, ἢ ἥλοις καθηλοῖ.

ΠΕΡΙ' ΤΟΙ ΧΟΔΟΜΙ'ΑΣ. — Der Maurer.

§. 68.

Ὁ τοιχοδόμος θέμεθλον, εἴτουν θεμέλιον ἐς βάθος πρῶτον καταβαλλόμενος, ἐπὶ τούτου τοιχοποιεῖ, ἢ τοιχοδομεῖ εἴτε ἐκ λίθων, οὓς ὁ μὲν λιθοτόμος τε, καὶ λιθουργὸς ἐν ταῖς λατομίαις ἀνορύττει, ὁ δὲ λατόμος πρὸς τὸν γνώμονα τετραγωνίζει, εἴτε ἐκ πλίνθων, αἵτινες ἐκ πηλοῦ, καὶ ἄμμου, ὕδατι συγκυκηθέν-

Der Maurer leget den Grund, und setzet Mauern; entweder aus Bruchsteinen, welche der Steinhauer in der Steingrube bricht; und der Steinmetz nach dem Richtscheite zubereitet; oder aus Ziegelsteinen, welche, aus Sand und Leime, mit Wasser abgerühret, geformet, und gebrennet werden. Her-

των τε, καὶ συμφυραθέντων, πλινθευθεῖσαι, ἐν καμίνοις μάλα καλῶς πυρὶ ἐκκεκαυμέναις, ὀπτῶνται· ἑκάτερα δὲ ταῦτα τῷ τιτάνῳ διὰ τοῦ τύκου χρίει, καὶ κονιάματι κονιᾷ.

nach bewirft er mit Kalk (Mertel), vermittelst der Mertelkelle, und übertüncht sie.

ΠΕΡΙ' 'ΟΙΚΙ'ΑΣ. — Das Haus.

§. 69.

Πρὸ μὲν τῆς τοῦ οἴκου θύρας τὸ πρόθυρον, εἴτε προπύλαιόν ἐστι κείμενον· ἔχει δὲ ἡ θύρα τὸ ὑπόθυρον, εἴτουν κατώφλιον, τὸ ὑπέρθυρον, εἴτουν ἀνώφλιον, καὶ ἑκατέρωθεν τὰς παραστάδας. ἀλλὰ ταύτης μὲν ἐκδεξιῶν οἱ στρόφιγγες, ἐξ ὧν αἱ θύραι κρεμάμεναίπως, καὶ περιστρεφόμεναι, κλείονταί τε, καὶ ἀνοίγονται· ἐξ ἀριστερῶν δὲ τὸ κλεῖθρον, καὶ ὁ μοχλὸς, εἴτε τὸ μοχλίον· κάτω μὲν τῆς οἰκίας τὸ μεσαύλιόν ἐστιν, ἢ τὸ περίστοον, ἀβακίσκοις τὸ ἔδαφος, εἴτε δάπεδον ἐστρωμένον, καὶ στύ-

Vor der Thür des Hauses ist der Eingang. Die Thür hat eine Unterschwelle, eine Oberschwelle, und beyderseits die Pfosten. Zur Rechten sind die Thürangel, an welchen die Thüre hängt. Zur Linken ist das Schloß, oder der Riegel. Unter dem Hause ist der offene Saal, mit einem gewürfelten Estriche, gestützet mit Säulen, an welchen das Kapital und Postament. Ueber die Treppe (Stiege) und Wendeltreppe steigt man auf die oberen Stockwerke. Außen erscheinen die

λοις ἐςηριγμένον, ἐν οἷς τὸ περιςύλιον, καὶ ἡ βάσις· διὰ δὲ τῶν κλιμάκων, κοχλιδίωντε, καὶ βαθμίδων ἐπὶ τὰς ἀνωτέρας τῶν ὀροφῶν ἀναβαίνομεν· ἔξωθεν φαίνονται αἱ θυρίδες, αἱ κιγκλίδες, οἱ πρόδομοι, εἴτουν προβολαὶ, τὰ γεισώματα, καὶ αἱ ἀντηρίδες, εἴτουν ἐρείσματα· τὸ μὲν τῆς οἰκίας ὑπέρτατον ςέγη, εἴτε ὄροφος, καὶ τέγος κατονομάζεται, ὅπερ κεραμίσιν, ἢ σχίδαξι ςεγάζεται, ἅπερ ςρωτῆρσιν, ἢ δοκίσιν, ἐν ταῖς δοκοῖς, ἐπικειμένοιςτε, καὶ καθηλουμένοις, ἐπιτίθεται, ὑποςηριζόμενα· τῷ δ' ὀρόφῳ προσέχεται ὀσωλὴν, δι' οὗ τῶν ςαγόνων ἡ καταφορά· ὁ δ' ἀνώροφος τόπος ὕπαιθρόντε λέγεται, καὶ ὑπαίθριον· ἐν τῷ ὀρόφῳ προσέτι τὰ προςέγιά εἰσι, καὶ αἱ κορωνίδες· ὅσοι δὲ τῶν οἴκων πηλῷ καταςεγάζονται, δώματα αἱ τούτων λέγονται ςέγαι· ἔντεῦθεν δὲ καὶ ὅλος ὁ οὕτω ςεγαζόμενος οἶ-

Fenster und Gegitter, die Gallerien, Wetterdächlein und Pfeiler, das Gemäuer zu stützen. Zu oberst ist das Dach, mit Ziegeln, oder Schindeln gedecket, welche auf den Latten, diese auf den Sparren liegen. Am Dache hängt die Rinne, (Treufe). Der Ort ohne Dach wird die Altan genannt. Auf dem Dache sind die Erker, die Knöpfe und Fahnen.

κος δῶμα προσαγορεύεται.

ΠΕΡΙ' ΣΙΔΗΡΟΥΡΓΙ'ΑΣ.

Der Schmied.

§. 70.

Ὁ σιδηρεργὸς, εἴτε σιδηρεὺς ἐν τῷ σιδηρεργεῷ τῇ μὲν φύσῃ, ἥπερ τῇ τοῦ ποδὸς, ἢ τῆς χειρὸς καταπιέσει συστέλλεταί τε, καὶ ἐκτείνεται, τὸ πῦρ φυσῶν, καὶ ἀναῤῥιπίζων, μαλάττει τὸν σίδηρον· τῇ πυράγρᾳ δὲ, εἴτε τῷ λαβιδίῳ τούτου, ἤδη πυρακτωμένου, δραττόμενος, τοῦ πυρὸς ἐξέλκει, τῷ δ᾽ ἄκμονι ἐπιθέμενος, ἰσχυρῶς αὐτὸν τῇ κέστρᾳ, εἶτα σφύρᾳ βάλλων, καὶ σφυροκοπῶν, ἐλαύνει, ἐκ ὀλίγων ἐντεῦθεν ἐκπηδώντων σπινθήρων· ἐκ δὲ τοῦ ἤδη μεμαλαγμένου τουτοῦ σιδήρου ἧλοι, σιδηραῖ ἐμβάδες, ἁλύσεις, κανθοὶ, ἐλάσματα, κλεῖθρα. κλεῖδες, στρόφιγγες, κρίκοι, δίκελλαι, μάχαιραι, σκέπαρνα, τρύ-

Der Schmied in der Schmiede blaßt das Feuer mit dem Blasbalge auf, den er mit dem Fuße tritt; und also glühet er das Eisen. Hernach zieht er es mit der Zange heraus, leget es auf den Amboß, und schmiedet es mit dem Hammer, da die Funken davon springen. Und also werden die Nägel, die Hufeisen, die Radschienen, die Ketten, die Bleche, die Schlösser mit den Schlüsseln, Thürangeln u. d. gl. verfertiget. Das glühende Eisenwerk löschet er in dem Löschtroge ab.



πανα, καὶ παντοῖα χαλκεύεται ἄλλα· τὰ δὲ χαλκευθέντα σιδηρᾶ ὄργανα, διάπυρα ἔτι ὄντα, ἐν τῷ ὕδατος μεςῷ ἀποσβεςηρίῳ ἐμβαπτόμενα, ἀποσβέννυται, καὶ ςομȣ͂ται.

ΠΕΡΙ' ΚΙΒΩΤΟΠΟΙΙ'ΑΣ, ΚΑΙ' ΤΟΡΕΥ'ΜΑΤΟΣ.

Der Schreiner und Drechsler.

§. 71.

Ὁ μὲν τέκτων τῷ μὲν σκεπάρνῳ, καὶ τῇ ξυήλῃ τὰς σανίδας ἐπὶ ξανίȣ, εἴτȣν πλακὸς πελεκᾷ. τῷ δὲ λίςρῳ, εἴτȣν ξύςρῳ λιςραίνων, ὁ μαλίζει, τῷ δὲ τερέτρῳ, εἴτȣν τρυπάνῃ τιτραίνειτε, καὶ τρυπᾷ, γλύφει δὲ τῷ γλυφείῳ, ἁρμόττει δὲ, κολλῶν τῇ κόλλῃ, τοῖς δὲ σφηκίσκοις σφηκοῖ, ἢ ταῖς περόναις ἐνοῖ· καὶ ȣ̔́τω τραπέζας, κιβωτȣ̀ς, κιβώτια, κίςας, κιςίδας, ἄβακας, ἀβάκια, πυξίδας, καὶ παντοῖα τεκταίνεται ἄλλα· ὁ δὲ τορευτὴς, εἴτε τορνευτὴς ἐπὶ τρίποδος κα-

Der Schreiner (Tischler) hobelt die Bretter mit dem Hobel auf der Hobelbank, glättet sie mit dem Schlichthobel, bohret sie mit dem Bohrer, schnitzet mit dem Schnitzer, füget sie mit Leime und mit Leisten, und machet Tafeln, Tische, Kisten u. a. m. Der Drechsler drehet sitzend auf dem Reitstocke, mit dem Dreheisen, über der Drehbank, Kugeln, Kegel, Püppchen, und dergleichen Drehwerke.

θήμενος, τῷ τόρνῳ, ἐν τῷ τορνευτικῷ βάθρῳ ἱδρυμένῳ, σφαίρια, εἴτε σφαιρίδια, κῶνυς. εἰκόνια, κώθωνας, κοτύλας, ἀτράκτυς, σφονδύλυς, δόιδυκας, καὶ μυρί' ἄλλα τορεύει τορεύματα.

ΠΕΡΙ' ΚΕΡΑΜΕΥΤΙΚΗ͂Σ.

Der Töpfer.

§. 72.

Ο' κεραμεὺς, εἴτυν πηλυργὸς καθήμενος, πλάττει, ἢ κεραμεύει ἐξ ἀργίλλυ, τροχῷ χρώμενος, χύτρας, ὑδρίας, τρίποδας, παροψίδας, ςάμνυς, τρυβλία, κακκάβυς, πώματα, κεράμυς, καὶ ἄλλα σκεύη κεράμεια· ἅπερ ἐν μὲν τῷ ἰπνῷ, εἴτυν καμίνῳ ὀπτῶν, σκληρύνει, πλακοῖ δὲ λιθαργύρῳ· συντριβεισῶν δὲ τῶν χυτρῶν, τὰ ὄςρακα, εἴτε χυτρία γίγνεται.

Der Töpfer sitzend bildet oder machet über der Scheibe aus Thone (Leime) Töpfe, Krüge, Dreyfüße, (Reinen), Schüsseln, irrdene Gefäße, Ofenkacheln, Stürzen, u. d. gl. Hernach härtet er sie im Brennofen, und überzieht sie mit Glasur. Ein zerbrochener Topf giebt Scherben.

ΠΕΡΙ' ΜΕΡΩ'Ν 'ΟΙΚΙ'ΑΣ.

Die Hausgemächer.

§. 73.

Ὁ οἶκος διορίζεται, ἢ ἀφορίζεται εἰς οἰκήματα, οἷά ἐςι, τὸ προαύλιον, τὸ ὑπόκαυςον, εἴτε πυριατήριον, τὸ μαγειρεῖον, ὁ ὀψών, εἴτυν ταμεῖον, τὸ ἑςιατήριον, ἢ δειπνωτήριον, ἡ καμάρα, ὁ κοιτὼν μετὰ τῆς προσοικοδομηθείσης ἐυμαρίας, εἴτε ἀφοδευτηρίυ· οἱ μὲν κόφινοι, εἴτε σπυρίδες, πρὸς τὸ τὰ πράγματα μεταφέρειν ὑπηρετῦσιν, αἱ δὲ κιβωτοίτε, καὶ ἄβακες, ἅπερ κλειδὶν ἀνοίγεταίτε, καὶ κλείεται, εἰς τὴν τῶν ἀποτιθεμένων ὑποδοχήντε, καὶ διατήρησιν· χηλὸς δὲ καλεῖται, ἐν ᾧ αἱ ἐσθῆτες ἀποτίθενται· ὑπὸ δὲ τὴν ςέγην τὸ ὑπώρροφον κεῖται· ἐν δὲ τῇ αὐλῇ τὸ φρέαρ, ὁ ςαθμὸς, εἴτυν αὔλιον, ἅμα τῷ βαλανείῳ· καὶ δὴ ὑπὸ τὴν οἰκίαν τὰ ὑπόγεια, ὅπυ οἱ οἰνῶνες, εἴτυν αἱ οἰνοθῆκαι, αἱ ξυ-

Das Haus wird in Gemächer abgetheilet; als da sind; das Vorgemach, (der Saal), die Stube, die Küche, die Speisekammer, der Speisesaal, das Gewölbe, die Schläfkammer, sammt dem angebauten Sekrete (heimlichen Gemache). Die Körbe dienen, die Sachen hin und wieder zu tragen; die Kisten, (Truhen), welche mit dem Schlüssel aufgeschlossen werden, dieselben zu verwahren. Unter dem Dache ist der Boden; im Hofe der Schöpfbrunn, der Stall, sammt der Badestube. Unter dem Hause ist der Keller.

λοθῆκαι, καὶ ὅσα ἄλλα διάφορα ἀποταμιεύεται.

ΠΕΡΙ ΥΠΟΚΑΥΣΤΟΥ, ΚΑΙ ΚΟΙΜΗΤΗΡΙΟΥ.

Die Stube und Kammer.

§. 74.

Τὸ ὑπόκαυστον τοῖς μὲν φατνώμασι, καὶ τοίχοις τὰ πλεῖστα σανιδωτοῖς κοσμεῖται, ταῖς θυρίσι δὲ διαφωτίζεται, ἢ λαμπρύνεται, καμίνῳ δὲ θερμαίνεται· τὰ μὲν δὴ ἐν αὐτῷ χρειώδη ἐστὶ, τὰ βάθρα, αἱ ἕδραι, αἱ τράπεζαι μετὰ τῶν ἑρμάτων, ἢ ἐρεισμάτων, καὶ ὑποποδίων ἅματῇ στρωμνῇ· οἱ δὲ τάπητες, εἴτε περιστρώματα προσαναρτῶνται· ἡσύχου δὲ, καὶ νηδύμου ἕνεκα ὕπνου δέμνιον, εἴτε εὐνὴ ἐν τῷ εὐναστηρίῳ κεῖται, τοῖς ἑρμίσιν ὑπερειδομένη τε, καὶ ἀνεχομένη, ἐφ' ἧς τάτε ἄλλα τῶν στρωμάτων, καὶ αὐτόγε τὸ κνέφαλον μετὰ σινδόνος τε, καὶ ἐπιστρώματος ἐπιστρώννυται· ἔτι δὲ τὸ ὑπαυχένιον, εἴ-

Die Stube wird von der Decke und den Wänden, welche meistens getäfelt sind, gezieret; durch die Fenster beleuchtet; und durch den Ofen erwärmet. Deren Geräthe sind: die Bänke, die Sessel, die Tische mit ihren Gestellen und Fußtritten, wie auch Pölster. Tapezereyen werden auch aufgehänget. Zur sanften Ruhe ist in der Schlafkammer das Bett, auf dem Spannbette über dem Strohsacke, mit den Leilachen und Bettdecken gebettet. Das Kissen liegt unter dem Haupte. Mit dem Vorhange wird das Bett verdecket. Der Nachttopf dienet die Blose zu erleichtern.

τὸν προσκεφάλαιον πρὸς τὴν τῆς κεφαλῆς κατάκλισιν, καὶ ἀνάπαυσιν· ἡ μὲν κλίνη κωνωπείῳ περιβάλλεται, ἡ δ' ἀμὶς, εἴτε οὐρητρὶς ἐς τὸν τῆς κύστεως συντελεῖ κουφισμόν τε, καὶ ἐκκένωσιν.

ΠΕΡΙ' ΦΡΕ'ΑΤΟΣ. Die Schöpfbrunnen.

§. 75.

Ὅπου πηγαὶ, εἴτε κρῆναι οὐκ ἐκβλύζουσι, φρέατα ἀνορίττεται, τῷ περισταυρώματι περιφραττόμενα, καὶ τῷ στομίῳ τε, καὶ περιστομίῳ περιτειχιζόμενα, ἵνα μήτι αὐτοῖς κατολισθῆσαν, ἐμπέσῃ· τοῖς δ' ἀντλητηρίοις, εἴτε ἀντλήμασιν ἐντεῦθεν ὑδρεύονται, ἅπερ ἐκ τῆς κάμακος, ἢ τῆς ἱμονιᾶς, ἢ τῆς ἁλύσεως ἐξαρτῶνται· ταῦτα δὲ τῷ κηλωνείῳ, εἴτε γεράνῳ, ἢ τῇ τροχιλέᾳ, ἢ τῷ λαβὴν ἔχοντι κυλίνδρῳ, ἢ τῷ τυμπάνῳ, ἢ τελευταῖον τῇ ἀντλίᾳ συνέχεται.

Wo Quellen mangeln, werden Brunnen ausgegraben, und mit einer Lehne umgeben, damit niemand hineinfalle. Daraus schöpfet man das Wasser in Eymern, welche da entweder an einer Stange oder an einem Seile, oder an einer Kette, hangen; und dieses entweder mit dem Schwengel, oder in der Windelscheibe, oder mit der Walze, die einen Handgriff hat, oder mit dem hohlen Rade, oder endlich mit der Pumpe.

ΠΕΡΙ ἹΠΠΩΝΟΣ, ΕἼΤΕ ἹΠΠΟΣΤΑΣΙΑΣ.

Der Pferdestall.

§. 76.

Ὁ αὐλήτης, εἴτε ἱπποκόμος τῆς μὲν κόπρου τὸν σταθμὸν, εἴτε ἱππόσταθμον ἐκκαθαίρει, τὸν δ' ἵππον τῇ φορβασίᾳ πρὸς τὴν φάτνην, εἴτε χιλωτῆρα προσδέει· ἢν δὲ δηκτικός γ' ὢν τυγχάνῃ, τῷ κημῷ, ἢ φιμῷ φιμοῖτε, καὶ κημοῖ· ὑποστρώννυσι δὲ τὰ κάρφη· τὸν γεμὴν βρῶμον, εἴτουν ἀκρόσπελον λικμώμενον τῷ λικμῷ, τοῖς ἀχύροις μιγνύει, καὶ τῇ χιλωτικῇ κίστῃ, εἴτε φορβοκιστίδι προκομίζων, ἐντίθησι· τούτοις μὲν δὴ, καὶ τῷ χόρτῳ χιλεύει, εἴτε χιλοῖ τὸν ἵππον, ποτίζει δὲ τῷ ὕδατι· ὃν ἀποσμᾷ προσέτι, εἴτε ἀποσμήχει τῇ σωρακίδι, καὶ καταψᾷ τῇ ψήκτρᾳ, εἴτε ψηκτρίᾳ, τὸ ἀμφίμαλλον ἐπιβάλλων, καὶ τὰ πέλματα ἐνορῶν, εἰ καλῶς τὰ πέδιλα ἔχοι.

Der Stallknecht mistet den Stall aus; bindet das Pferd mit der Halfter an den Baaren, (Krippe); oder wenn es beißig ist, leget er ihm den Maulkorb an. Hernach machet er die Streu; den Haber schwingt er in der Wanne, welchen er mit Häckerling menget, und aus dem Futterkasten nimmt, und damit, wie auch mit Heu, füttert er das Pferd. Nach diesem führet er es zum Wassertroge trinken; dann wischet er es mit dem Tuche ab, striegelt es mit dem Striegel, leget ihm die Decke (Koze) auf, und beschauet die Hufe, ob die Eisen noch auf festen Nägeln hangen.

ΠΕΡΙ ΠΙΘΟΠΟΙΙΑΣ. Der Binder.

§. 77.

Ὁ πυτινοπλόκος, εἴτε οἰσυοπλόκος, καὶ ὁ πιθοποιὸς περιζώνιον ἔχων, κύκλους μὲν ἐκ τῶν λύγων, καὶ ἄλλων εὐλυγίστων φυτῶν ἐπὶ θράνου τῇ ἀμφιλαφεῖ μαχαιρίδι ἐξεργάζεται, εὐμάλακτα αὐτὰ περικάμπτων, στερροῦ δὲ ἐκ ξύλου σανίδας, ἐξ ὧν κάδους, βίκους κατασκευάζει, καὶ πίθους, δύω πυθμένας ἔχοντας· πρὸς τούτοις ληνοὺς, λουτῆρας, τριμόδια, καλπίδας, εἴτε ἀντλητήρια μονοπύθμενα· ταῦτα δὲ τοῖς κύκλοις περιζωννύων, συσφίγγει, οὓς διὰ τοῦ κρωπίου ὑπολυγίζων, τῷ ῥαιστῆρι τε, καὶ τῇ σπάθῃ συναρμόττει, μάλα πεφυλαγμένως ἐπικρέων.

Der Binder (Büttner), mit dem Schurzfelle angethan, machet aus Weidenruthen über der Schnitzbank mit dem Schnitzmesser Reife; und aus dem Holze Faßdauben. Aus den Dauben machet er Fässer und Tonnen, mit zween Böden; dann Kuffen, Schäffer, Butten, und Gelten, mit einem Boden. Hernach bindet er sie mit Reifen, welche er mit Hülfe des Bindemessers mit weidenen Reisern heftet, und mit dem Schlägel und Triebel anschlägt.

ΠΕΡΙ' ΣΧΟΙΝΟΣΤΡΟΦΙ'ΑΣ, ΚΑΙ' 'ΙΜΑΝΤΟΤΟΜΙ'ΑΣ.

Der Seiler und Riemer.

§. 78.

'Ο μὲν σχοινοςρόφος συςρέφει τὰ σχοινία τῇ δονήσει. εἴτεν περιφορᾷ τῦ τροχίσκυ ἐκςύπωης, ἤ καννάβεως, οἷς ἑαυτὸν περιζώννυσι· πρῶτον μὲν ὖν τὰς σειρίδας, εἶτα τὰ καλώδια, εἴτεν σχοινία, καὶ τελευταῖον τὺς κάλως, εἴτε τὰ οἷσα δεόντως γε περιςρέφων, κατεργάζεται· ὁ δὲ ἱμαντοτόμος, εἴτε ἱμαντυργὸς τὰς βοείυς διασχίζων δορὰς, εἴτε βοείας βύρσας, ὑμὴν ἀλλὰ καὶ ἄλλων ἔσϑ' ὅτε ζώων, ἱμάντας, ἡνίας, ζώνας, μασχαλιςῆρας, περικοίλια, βαλάντια, ἱπποπήρας, ϑύλακας, καὶ μυρίαγε τεχνεύεται ἄλλα.

Der Seiler drehet Seile, durch Umdrehung des Rades, aus Werch oder Hanf, den er um sich leget. Also werden verfertiget, erstlich: das Seilgarn (Bindfäden), dann die Stricke, endlich die Brunn= oder Schiff=seile. Der Riemer schneidet aus der Kühhaut Riemen, Zäume, Gürtel, Wehrgehänge, Taschen, Mantelsäcke (Ranzen, Felleisen), u. d. gl.

ΠΕΡΙ' 'ΟΔΟΙΠΟΡΙ'ΑΣ.

Der Wandersmann.

§. 79.

'Ο ὁδοιπόρος βυςάζει ἐπ' ὤμων ἐν τῇ ἀσκο-

Der Wandersmann trägt auf dem Rücken im



πήρα, ἅπερ ἡ ἀργυροθήκη, ἢ τὸ μαρσύπιον χωρῆσαι οὐδύναται· καὶ τῷ μὲν φαινόλῃ καλύπτεται, τῇ δὲ χειρὶ τὴν βακτηρίαν κρατεῖ, ἑαυτὸν ἐπερείδων· οὐ μόνον δὲ ἐφοδίων, ἀλλά γε καὶ συνακολούθου, καὶ ξυνοδοίτου χρήζει πιστοῦ, καὶ ὁμιλητικοῦ, καίγε τῆς ὁδοῦ ἀπόπειραν ἔχοντος· οὐδέποτε μὲν οὖν τῆς λεωφόρου, καὶ κοινῆς, εὖγε φρονῶν, ἐκτρέπεται πορείας, ἀτριβοῦςγε ἄλλης, ἢ ὀλιγοτριβοῦς ἁπτόμενος ἀτραποῦ· οὕτω γὰρ, δυσχωρίαις ἂν, κρημνοῖς, βαράθροις, καὶ ἀνοδίαις περιπέσειε· τῆς εὐθείας δέποτ᾽ ἐκτραπείςτε, καὶ ἀποπλανηθεὶς, οὐπαύεται τοὺς ἀπαντῶντας διαπυνθανόμενος, ὅποι βαδιστέον, καὶ τὴν εὐθεῖαν ἀναζητῶν· τοῖς αὐτοῖς δὲ, καὶ τὴν πορείαν ἀγνοῶν, χρῆται· φοβεῖται γὰρ, μὴ δυσχωρίᾳ, ἢ κρημνῷ, ἢ ἄλλῳ τῳ περιπέσῃ κακῷ· τοὺς δὲ λῃστὰς καὶ ἀνὰ τὴν ὁδὸν βαδίζων, κἀν τῷ

Reisefelle, was der Schiebsack oder die Tasche nicht fassen kann; er wird mit dem Reisemantel bedecket; er hält den Wanderstab in der Hand, daran er sich stützet, er bedarf einer Wegzehrung, wie auch eines getreuen und gesprächigen Gefährten. Er verlasse nicht die Landstraße, wegen des Fußsteiges, wenn es nicht ein gebahnter Pfad ist. Die Abwege und Scheidewege betrügen und verführen an unwegsame Oerter; desgleichen auch die Krummwege und Kreuzwege. Demnach forsche er bey den Begegnenden, welchen Weg er gehen müsse; und hüte sich vor den Straußenräubern, gleichwie auf der Strasse, also auch in der Herberge, wo er übernachtet.

ξενοδοχείῳ καταλύων, ἢ διανυκτερεύων, κατὰ τὸ δυνατὸν, φυλάττεται· ἡ δ' ἄνοδόςτε, καὶ ἡ δίοδος, καὶ δὴ καὶ ἡτρίοδος, καὶ οἱ ςαυροὶ, εἰτύχοιεν, ἐκτρέπουσι πολλάκις τὸν ὁδοιπόρον, ἐξαπατῶντα.

ΠΕΡΙ' ΊΠΠΕ'ΩΣ. Der Reuter.

§. 80.

'Ο ἱππεὺς τῷ ἐφιππίῳ τὸν ἵππον ἐπισάττων, τῷ μὲν μασχαλιςῆρι, εἴτουν διαζώματι διαζώννυσι, περισφίγγων, τῷ δὲ νωτιαίῳ σκεπάσματι ἐπιςρώννυσιν, ἐντίθησι δὲ τὸν χαλινὸν τῷ ςόματι, τοῖς δὲ φαλάροις, τῷ προμετωπιδίῳ, τῷ προσεϱνιδίῳ, εἴτουν προςηθιδίῳ, καὶ τῇ ὑπουρίδι αὐτὸν κοσμεῖ· εἶτ' αὐτοῦ ἐπιβαίνει, ἢ ἐφάλλεται· ἱππαζόμενος δὲ, τοὺς μὲν πόδας, τῷ μύωπιπεριβεβλημένους, ἐντίθησι τοῖς ἀναβολεῦσι, τῇ δ' ἀριςερᾷ τὰς ἡνίας, τὴν μάςιγα δὲ τῇ δεξιᾷ κατέχων, ἐλαύνει, χαλινα-

Der Reuter leget dem Pferde den Sattel auf, welchen er ihm mit dem Gurte umgürtet; er leget ihm auch die Schabracke (Ruckdecke) auf; zieret es mit dem Roßzeuge, dem Stirnrieme, Brustrieme und Schwanzrieme. Hernach schwingt er sich auf das Roß, setzet die Füße in die Bügel (Stegreife); mit der Linken fasset er den Zügel (Zaum) des Gebisses, womit er das Pferd lenket und anhält; alsdann giebt er ihm den Sporn, treibt es mit der Spitzruthe an, und brem-

γωγῶν· ἰθυύνει δὴ ἕν τὸν ἵππον, τῷ μὲν μύωπι μυωπίζων, τῇ δὲ μάςιγι μαςίζων, τῷ δὲ χωλητηρίῳ, εἴτ' ἐπιςομίῳ ἐπιςομίζοντε, καὶ συνείργων· αἱ μὲν ἱπποπῆραι ἐκ τῆς τῶν ἐφιππίων κρέμανται κεραίας, ἐν αἷς τὰ πυρεκβόλα ἐντέθεινται· ὁ δ' ἱππεὺς τὴν μὲν χλαμύδα περιβάλλεται, τὸν δὲ φαινόλην ἐξόπισθεν ἀναδεσμεύει· οἱ δὲ δρομεῖς, εἴτεν ταχυδρόμοι δρομάδην τε, καὶ εἰς τάχος τρέχουσιν, οἱ μὲν, ἔφιπποι, οἱ δὲ, πεζοποροῦντες, οἱ δὲ, ἐφ' ἁρματίων ἐλαύνοντες.

set es mit der Bremse. Die Hulftern hangen am Sattelknopfe, worein die Pistolen (Fäuströhre) gesteckt werden. Er, der Reuter, ist mit dem Reutrocke angethan; der Regenmantel wird hinten aufgebunden. Der Postreuter rennet sehr schnell fort.

ΠΕΡΙ' 'ΟΧΗΜΑ'ΤΩΝ.

Die Wägen.

§. 81.

Τοῦ μὲν ἑλκύθρου, ἐφ' ἵππων τὰ πολλὰ ἑλκομένου, ἐποχούμενοι, ἐπί τε τῆς χιόνος, καὶ τοῦ παγετοῦ χειμῶνος ἐλαύνομεν, τοῦ δ' ἅρματος, ἢ ὀχήματος, ἢ ἁμάξης, ἢ ἀπήνης ἀείποτε ἐπιβαίνον

Mit dem Schlitten fahren wir über Schnee und Eis. Ein Wagen mit einem Rade wird ein Schubkarren genannt; mit zweyen Rädern ein Karren; mit vieren ein Wagen, welcher entwe-

τες, ἵππων τὰ πολλὰ, ἢ ἡμιόνων ἑλκόντων, ἡνιοχȣ́των δὲ τῶν ἡνιόχων, ἢ ἁρματηλατῶν, ὡσάυτως ἐλαύνομεν ἐςι᾽ ὅτε δὲ καὶ ἡμεῖς ἀυτοὶ ἡνιοχȣ̃μεν, ἐλάυνοντες ἀλλ᾽ ἡ μὲν μονότροχος ἅμαξα, ἁμαξίς, ἡ δὲ δίτροχος, ἅμαξα, ἡ δὲ τετράτροχος, ὄχημα, εἴτε ἁρμάμαξα προσαγορεύεται· εἰσὶ δὲ καὶ ἅμαξαι σκευοφόροι, καὶ σκευαγωγοὶ καλȣ́μεναι· ἐξ ὧν δὲ τὰ ἅρματα τυγχάνει, συντιθέμενα, εἴη ἂν τάδε, ὁ ῥυμὸς, ὁ ἴσωρ, ὁ ζυγὸς τὰ ὑποκυφώνια, αἱ πλευραὶ, εἶτȣν οἱ θαιροὶ, ὁ ἄξων, καὶ ἡ χνόη, εἴτε ἀκροξόνια, περὶ ἃ αἱ χοινικίδεςτε, καὶ οἱ τροχοὶ περιειλȣ̃νται· τοῖς ἀυτοῖς δ᾽ ἀκροξονίοις ἐμπήγνυται τὰ παραξόνια, καὶ οἱ ἔμβολοι, ὅπως μὴ ἐξολισθαίνοντες οἱ τροχοὶ, ἐκπίπτωσιν· ἡ δὲ βάσις, εἴτε κέντρον τȣ̃ τροχȣ̃ χοινικὶς, ἢ τορμὸς λέγεται· ᾧ ῥαβδίσκοι δυωκαίδεκα προσηρμόδαταίτε, ȣ̓

der ein Rüstwagen, oder ein Lastwagen ist. Die Wagenstücke sind: die Deichsel, die Wage, die Fuge, die Leitern; dann die Achsen, um welche die Räder laufen, denen die Nägel und die Lohne vorgefüget werden. Die Grundfeste des Rades ist die Nabe, aus welcher zwölf Speichen hervorgeben; diese umgiebt der Kranz, welcher aus sechs Felgen und eben so vielen Radschienen zusammengesetzet ist. Auf den Wagen werden Körbe und Flechten geleget.

ἐμπεπήχαται, κνῆμαι καλούμεναι· περὶ δὲ ταύτας ἡ ἴτυς, ἡ τοῦ τροχοῦ δηλαδὴ περιφέρεια κύκλῳ περιπήγνυται, ἐξ ἀψίδων ἓξ συνεστηκυῖα, περὶ ἣν τὰ ἐπίσωτρα, εἴτουν οἱ κανθοί· τῆς δ' ἁμάξης ἐπιτίθενται αἱ πείρινθες, εἴτουν κόφινοι, ἐν οἷς τὰ φορτία διακομίζεται·

ΠΕΡΙ' 'ΕΛΑ'ΣΕΩΣ, 'ΕΙΤΟΥΝ 'ΗΝΙΟΧΗ'ΣΕΩΣ.

Das Fuhrwerk.

§. 82.

Ὁ μὲν ἡνίοχος, εἴτε ὁρματηλάτης, καὶ ἡνιοχεὺς τῷ μὲν ἐφιππίῳ ἵππῳ τὸν πάριππον πρὸς τῷ ῥυμῷ, ὅθεν οἱ ἱμάντες, ἢ αἱ ἁλύσεις ἐξήρτηνται, συζεύγνυσι· τῷ δὲ ῥηθέντι ἐφιππίῳ ἐπικαθήμενος ἵππῳ, τοὺς προεζευγμένους τῇ ὑστριχίδι, εἴτουν μάστιγι ἡνιοχῶν, ἐλαύνει· πολλάκις δ' ἐπὶ δίφρου καθεζόμενος, ἐλαύνει· μεταβάλλων δὲ τὰς ἡνίας ἐφ' ἑκατέραν τὴν γνά-

Der Fuhrmann spannet das Handpferd zu dem Sattelpferde an die Deichsel, mit dem vom Kummet herabhängenden Riemen oder Ketten. Hernach sitzet er auf dem Sattelpferde, jaget vor sich die Vorspann mit der Peitsche, und leitet sie mit den Leitseilen. Die Radachse schmieret er aus der Schmierbüchse mit Wagenschmiere; und hängt das Rad mit der

θον, πλαγιάζει, εἴτε συςρέφει τὸν ἵππον· προσέτι τὸν μὲν ἄξονα τῷ ὀξυγγίῳ, ἐκ τοῦ ἄγγους τούτο λαβὼν, χρίειτε, καὶ ἀλείφει, τὸν δὲ τροχὸν ἐπὶ τὰ κατάντη ἐλαύνων, τῇ τροχοπέδῃ ἐπέχει, καὶ οὕτως ἐποχεῖται διὰ τῶν ἁρματοτροχιῶν· πολλοὶ δὲ τῶν πρoὐχόντωντε, καὶ ζαπλούτων τεθρίπποιςτε, καὶ ἑξίπποις, δυοῖν ἡνιόχοιν ἐλαυνόντοιν, ἐφ᾽ ἁρμαμαξῶν, λαμπηνῶν καλουμένων, ἐπιβαίνοντες, ὀχοῦνται· ἄλλοι δὲ ξυνωρίδος ἑλκούσης, ἐπὶ δίφρῳ ὀχούμενοι, οἱ αὐτοὶ ἐλαύνουσιν· αἱ μὲν ἀπῆναι, εἴτουν τὰ ἀνακλιντήρια, καὶ τὰ φορεῖα ὑπὸ ξυνωρίδος βαςάζονται· ἐσθ᾽ ὅτε δὲ κελητίζομεν, κέλητι χρώμενοι· διὰ δὲ τῶν δυσβάτων ὀρῶν τὰ κανθήλια, εἴτε ἐπισάγματα, εἴτε φορτία διακομίζοντες, τοῖς ὄνοις, καὶ ταῖς ἡμιόνοις, καὶ τοῖς ἵπποις ἀνθ᾽ ἁμαξῶν χρώμεθα.

Hemmkettel in gäher Abfahrt ein. Und also fährt er in der Wagengleiße. Große Herren fahren mit sechs Pferden, und zwey Kutschern, in einem Hangewagen, welcher eine Karrete (Kutsche) genannt wird; andere mit zween Pferden, in der Kalesche. Die Roßbahren und Sänften werden von zwei Pferden getragen. Ueber unwegsame Gebirge brauchet man anstatt der Wagen die Saumrosse.

ΠΕΡΙ' ΝΗΩ'Ν. Das Ruderschiff.

§. 83.

Τῶν νηῶν, ὅσαι κώπαις ἐλαύνονται, ἡ μὲν, μονήρης, εἴτε μονόκροτος ἐστίτε, καὶ λέγεται, ἠδὲ, διήρης, ἠδὲ, τριήρης, ἠδὲ, τετρήρης, καὶ ἑξῆς ὁμοίως, ἑκάστη ἐκ τοῦ κατὰ τὰς κώπας ἀριθμοῦ παρονομαζομένη· ἐν ταύταις δὴ οὖν ἐπὶ μὲν τῶν σελμάτων, εἴτουν ζυγῶν, οἱ ἐρέται καθήμενοι, ταῖς κώπαις, περὶ τοὺς σκαλμοὺς προσδεδεμέναις τοῖς καλωδίοις, ἐρέττουσιν, εἴτουν κωπηλατοῦσι, τὸ ὕδωρ ἐλαύνοντες· ἐπὶ δὲ τῆς πρώρας ἵσταται, προσέχων τε, καὶ περισκοπῶν ὁ πρωρεὺς, ὁ δὲ κυβερνήτης, εἴτουν πηδαλιοῦχος ἐπὶ τῆς πρύμνης ἐπαναπαυόμενος, πηδαλιουχεῖ, τὴν ναῦν κυβερνῶν· ταῖν μὲν γὰρ χεροῖν τοὺς οἴακας κατέχων, οἰακίζει τε, καὶ οἰακοστροφεῖ, διὰ δὲ τῆς οἰακοστροφίας δεόντως τε, καὶ συμφερόντως τὸ πηδάλιον στρέφει, διὰ δὲ τούτου πρὸς

Ein Ruderschiff hat eine Ruderbank, oder zwo oder drey oder vier u. s. f., in welchem die Ruderknechte auf den Ruderbänken bey den Ruderringen sitzend, das Wasser mit den Rudern schlagend, rudern. Der Schiffmann steht im Vordertheile, der Steuermann sitzt im Hintertheile, und führet das Steuerruder. Und auf diese Weise wird die Schifffahrt regieret.

τὸ σκοπέμενον εὐθύνει τὸ σκάφος, καὶ ἀκινδύνως πρὸς τὸν λιμένα καταίρων, διασώζει, εὐςόχως μὲν τὸ ῥόθιον διαφεύγων, καὶ τὰ κύματα, ἀσφαλῶς δὲ τὲς σκοπέλες, καὶ ὑφάλες, καὶ ἀυτὰς δὴ τὰς σπιλάδαςτε, καὶ ἀκτὰς παραπλέων· ὅτω δὴ ὃν ἥτε ναυτιλία, καὶ ὁ πλᾶς διανύεται, τοῖς ὅρμοις ἐγκαθορμιζομένε τε πλοίε.

ΠΕΡΙ' 'ΟΛΚΑ'ΔΩΝ. Das Lastschiff.

§. 84.

Αἱ ὁλκάδες ἐκ εἰρεσία, εἴτεν κωπηλασία, ἀλλὰ πνεύματι μόνῳ ἐλαυνόμεναι, προωθεῦνται· ἐν οἷς περ ὁ ἱςὸς κύκλωθεν πρὸς ταῖς ἄκραις καλωδίοις δεθεῖςτε, καὶ ἑδρασθεὶς, αἴρεται, ὅπερ ἡ κεραία, τῆς δὲ, τὰ ἱςία ἐξάπτεται, καὶ τῇ ὑπέρᾳ μεταγόμενα πρὸς τὴν τε πνεύματος ῥοπὴν, ἀναπετάννυται· τὰ ἱςία δ' εἰσὶν ὁ ἀρτέμων, εἴτεν ἀκά-

Das Schiff wird nicht durch Ruder, sondern allein von Gewalt der Winde fortgetrieben. In demselben wird der Mastbaum rings herum an dem Bord des Schiffes mit Seilen befestiget, aufgestellet; an welchem die Segelstange, an diese die Segel gehängt werden, welche gegen den Wind ausgespannet und mit Leitseilen hin und

τιος, ὁ δόλων, εἴτε ἀκάτιον, καὶ ὁ ἐπίδρομος· ἐν μὲν τῇ πρώρᾳ ὁ ἔμβολος, εἴτε ἀκρωτήριόν ἐστιν· ἐν δὲ τῇ πρύμνῃ τὸ σημεῖον τίθεται· ἐν τῷ ἱστίῳ κόφινός ἐστι (νηὸς σκοπιά)· ἐπί δὲ τῆς κεραίας τὸ ἄφλαστον, τῶν ἀνέμων δεικτικόν· τῷ μὲν οὖν πηδαλίῳ, καὶ τοῖς ἱστίοις τὰς ναῦς ἰθύνομεν, ἐκεῖνο μὲν ὧδε, κἀκεῖσε διὰ τοῦ οἴακος περιστρέφοντες, ταῦτα δὲ πῇ μὲν ἀναπεταννῦντες, πῇ δὲ χαλῶντες κατὰ τὸ δέον· τῇ δ' ἀγκύρᾳ ταύτας κατέχοντες, ἐρείδομέν τε, καὶ καθορμίζομεν, τῇ δὲ βολίδι βολίζοντες, τὸ τοῦ πελάγους διερευνῶμεν βάθος, καὶ καταμανθάνομεν· οἱ μὲν πλωτῆρες, καὶ ἐπιβάται ἐπὶ τοῦ καταστρώματος περιπατοῦσι, καὶ ἀναπαύονται, καθήμενοι, οἱ δὲ ναῦται περιτρέχουσι διὰ τῶν ἐδωλίων παροδεύοντες· καὶ οὕτω τὰ πελάγη διαπερῶσι, πλέοντες~ προσέτι καὶ τὴν ναυτικὴν πυξίδα μεθ' αὐτῶν

her beweget. Segel sind: das große Segel, das Vordersegel, und das Hintersegel. Am Vordertheile ist der Schiffschnabel; im Hintertheile wird das Fähnlein aufgestecket. Am Mastbaume ist der Mastkorb, (des Schiffes Warte), und über der Krone die Flagge, (der WindeZeiger). Mit dem Anker wird das Schiff angehalten. Mit dem Senkbley wird die Tiefe ausgeforschet. Die Schiffenden spazieren auf dem Schiffboden. Die Bootsleute laufen in den Schiffgängen. Und also werden auch die Meere überschiffet.

οἱ ναυτιλλόμενοι φέρουσιν, οὐ μικρὸν πρὸς τὴν τῆς νηὸς διεύθυνσιν ξυντελοῦσαν, ἣν ἔχουσι μὲν ἐπὶ τῆς πρύμνης, ὅπου ὁ κυβερνήτης, χρῶνται δὲ, τὸν ὠκεανὸν, καὶ τὰ βαθέα διαπλέοντες πελάγη, τὴν ναῦν ἰθύνοντες· εὗρε δὲ ταύτην Ἰωάννης ὁ Γωΐας.

ΠΕΡΙ' ΝΑΥΑΓΙ'ΑΣ. Der Schiffbruch.

§. 85.

Καταιγίδος, εἴτουν θυέλλης ἐξαίφνης ἐπιπεσούσης, συνέλκοντες οἱ ναῦται τὰ ἱςία, ὑποστέλλουσιν, ἵνα μὴ τοῖς σκοπέλοις, ἢ ὑφάλοις ἡ ναῦς προσαράξασα, ἢ εἰς ξηράντινα, ἢ ἀκτὰς, ἢ βράχη ἐξοκείλασα, κατεαγῇ· ἣν μὲν οὖν τὸν ἐντεῦθεν ἐπικείμενον ἐκφυγεῖν κίνδυνον δυνηθῶσι, σώζονται, ἣν δὲ μὴ, ναυαγίᾳ περιπίπτοντες, οἰκτρῶς ναυαγοῦσιν· ἐπισυμβάντος δὲ τοῦ ναυαγίου, οἱ ἄνθρωποι, τὰ ἀγώγι-

Wann ein Sturm jähling entsteht, ziehen die Schiffleute die Segel zusammen, damit nicht das Schiff an die Klippen geworfen werde, oder auf die Sandbänke laufe (strande). Wenn sie die Gefahr nicht vermeiden können, leiden sie Schiffbruch. Alsdann verderben jämmerlich die Menschen, die Waaren, und alles, was auf dem Schiffe sich befindet. Es hilft hier auch nichts am Unterseile ...

μα, καὶ τὰ ἐν τῇ νηῒ πάντα ἀπόλλυνται, καταβυθιζόμενα· ὄφελος δ' ἂν εἴη τηνικαῦτ' ἐδὲν, ἔτ' ἐκ τῆς τῶν φόρτων ἀποσκευῆς, καὶ τῆς τε πλοίε ἐκκενώσεως, ἐδ' ἐκ τῆς καθειμένης ἱερᾶς τῷ κάλῳ ἀγκύρας· τῶν δὲ πλωτήρων, οἱ μὲν, νεῖν ἐπισάμενοι, οἱ δὲ, ἐπὶ σανίδων ἐκνηχόμενοι, οἱ δὲ, τῷ σκαφιδίῳ, ἢ ἐφολκίῳ ἐμπλέοντες, ἐς γῆν διασώζονται· τῶν δ' ἀγωγίμων, ἃ μὲν καταποντίζεται, βαρέα γε ὄντα, ὅσα δὲ κεφα, τοῖς κορυφεμένοις ὠθέμενα κύμασιν, εἰς αὐτὴν ἐκφέρεται τὴν ἠϊόνα· τὰ δ' ἐλεεινὰ τῶν νεκρῶν πτώματα ἀθλίως ἐπὶ τὲς αἰγιαλὲς ἐκβράζεται, ἢ ταῖς ἀκταῖς, ἔτω συμβὰν, προσκρέοντα, μεληδὸν, οἴμοι, κατακερματίζεται.

fene große Anker. Einige kommen entweder durch Ausschwimmen auf einem Brete, oder auf dem Nachen davon. Ein Theil Waaren wird sammt den Todten von dem Meere an die Ufer geworfen.

ΠΕΡΙ' ΠΟ'ΛΕΩΣ. Die Stadt.

§. 86.

Οἰκιῶν μὲν ἐξ ἐντελῶντε, καὶ εὐαρίθμων ἡ κώμη, ἐκ πλειόνων δὲ, καὶ μικρόντι καλλιόνων τὸ πόλισμα, εἴτεν κωμόπολις, ἐκ δὲ πλείςωντε, καὶ περικαλλῶν τὸ ἄςυ συγκροτεῖται, καὶ ἡ πόλις, πολιζόμενα, ὧν τὰ πολλὰ λίθοις αἱ ἀγυιαὶ κατέςρωται· ἑκάτερον δὲ τῶν ἐσχάτων τέτων τείχεσι μὲν περιτειχίζεται πολλάκις, ὠχυρϐμενα, χαρακώμασι δὲ περιφράττεται, χώμασι δέτοι, καὶ χάραξι περιχώννυται, καὶ ςαυροῖς περιςαυρϐται· ἀλλὰ τὸ μὲν τϐ τείχϐς ἐν τὸς πωμήριον, τάφρος δεὶ τὸ ἐκτὸς ἀποκαλεῖται· ἐπὶ μὲν τῶν τειχῶν αἱ ἐπάλξεις, οἱ προμαχῶνες, οἱ πρόβολοι κτίζονται, καὶ οἱ πύργοι, ἐπὶ δὲ τὰ ὑψηλότερα αἱ σκοπιαί· ἡ μὲν εἰς τὴν πόλιν εἴσοδος ἐκ τϐ προαςείϐ διὰ τῶν πυλῶν γίγνεται, καὶ τῶν γεφυ-

Aus vielen Häusern wird ein Dorf, oder ein Marktflecken (Städtchen), oder eine Stadt. Jener und diese werden mit einer Mauer, mit dem Walle, mit Schanzen und Pfahlwerk (Palisaden) befestiget und umfangen. Innerhalb der Mauer ist der Zwinger; außerhalb der Stadtgraben. Auf der Mauer sind die Basteyen und Thürme; die Warten stehen an erhabenen Oertern. In die Stadt geht man aus der Vorstadt, durch das Thor, über die Brücke. Das Thor hat Fallgattern, eine Zugbrücke, Flügel, Schlösser und Riegel, wie auch Schlagbäume. In den Vorstädten sind Gärten und Lusthäuser, wie auch Kirchhöfe (Gottesacker.)

ρῶν· ἔχουσι δὲ αἱ πύλαι καταρράκτας, ζεῦγμα, εἴτε γέφυραν περίακτον, δικλίδας, κλεῖθρα, μοχλοὺς, καὶ διασῆρας, εἴτουν ἀναφορέας· ἐν δὲ τοῖς προαστείοις φυτεύονται μὲν οἱ κῆποι, καλλιεργούμενοίτε, καὶ διαφόρως καταχαλλυνόμενοι, οἰκοδομοῦνται δὲ τὰ ἐνηβητήρια, καὶ αὐτὰ προσέτι τὰ κοιμητήριάτε, καὶ κοινοτάφια· πρὸ δὲ τῶν πόλεων πέριξ προκείμενα κατοπτεύονται τὰ προάστεια· ἔστι δ' ὅτε αἱ τῆς πόλεως εἴσοδοι, καὶ αὐτὰ τὰ πέριξ ὀρχάτοις, εἴτε ὄρχοις περιστοιχίζονται, καταγλαϊζόμενα.

ΠΕΡΙ ΤΩΝ ἘΝΔΟΤΕΡΩΝ ΤΗΣ ΠΟΛΕΩΣ.

Das Inwendige der Stadt.

§. 87.

Τῆς μὲν πόλεως ἔνδον τὰ ἄμφοδα, αἱ λιθόστρωτοι ἀγυιαὶ, αἱ ἀγοραὶ μετ' αἰθουσῶν, εἴτουν στοῶν

In der Stadt sind Gassen, (Straßen, welche gepflastert sind; Märkte, (an einigen

ἐνιαχοῦ

ἐνιαχȣ̃, οἱ ςενωποὶ, τὰ λαμπρὰ οἰκήματα, τὰ περικαλλῆ οἰκοδομήματα, τὰ τελώνια, καὶ ἄλλα· περὶ δὲ τὰ μέσα τὰ δημόσια τῶν οἰκοδομημάτων, τα ἱερα. εἴτε ναοὶ. τὰ διδασκαλεῖα, ἡ ἀκαδημία, τὰ βασίλεια, τὰ ἀρχεῖα, τὰ βȣλευτήρια, τὰ τῆς ἐμπορίας οἰκήματα, καὶ τὰ διάφορα τῶν ἐμπόρων, καὶ τεχνιτῶν ἐργαςήρια· ἀμφὶ δὲ τὰ τείχη, καὶ πύλας, ἡ ὁπλοθήκη, ὁ σιτοβολὼν, εἴτε σιτὼν, τὰ πανδοχεῖα, εἴτε ξενοδοχεῖα. τὰ ὀπτανεῖα, εἴτε καπηλεῖα, τὰ θέατρα, τὰ νοσοκομεῖα, τὰ πτωχοτροφεῖα, καὶ ὀρφανοτροφεῖα, ἐν δὲ τοῖς μυχοῖς τὰ ἀφοδευτήρια, καὶ τὰ δεσμωτήρια· ἐπὶ τῶν πύργων τὸ ὡρολόγιον, εἴτȣν ὁ πόλος ἐςὶ, καὶ τῶν φυλάκων ἡ οἴκησις· ἐν δὲ τοῖς οἴκοις, κἀν ταῖς ῥύμαις, εἴτȣν πλατείαις τὰ φρέατα· ὁ δὲ ποταμὸς, εἴτυχοι, ἢ ὁ ῥύαξ, εἴτȣν χείμαῤῥος· διὰ τῆς πόλεως ῥέων, τὰς

Orten mit bedeckten Gängen) und Gäßlein. Gemeine Häuser sind; mitten in der Stadt: die Kirche, die Schule, das Rathhaus, das Kaufhaus; an der Mauer und an den Thoren: das Zeughaus, das Kornhaus, die Gasthöfe, Wirthshäuser, die Schenken und Garküchen, das Spielhaus, das Spital, (Siechenhaus): an abgelegenen Orten die Kloak und das Gefängniß; auf dem höchsten Thurme ist die Uhr, und die Wohnung der Wächter; auf den Plätzen sind Brunnen. Der Fluß oder Bach, welcher durch die Stadt fließt, dienet den Unflat auszuführen. Das Schloß raget am höchsten Orte der Stadt hervor.

ῥυπαρίας ἐκπλύνων, πρὸς πόσιν τε, καὶ ἄλλ' ἄττα γίγνεται χρήσιμος· ἡ δ' ἀκρόπολις ἐν τῷ ὑψίσῳ τῆς πόλεως κτιζομένη, ὠχυρῦται·

ΠΕΡΙ' ΤΙΜΩΡΙ'ΑΣ ΤΩ͂Ν ΚΑΚΟΥ'ΡΓΩΝ.

Die Leibesstrafen der Uebelthäter.

§. 89.

Οἱ κακῦργοι συλληφθέντες, πρῶτον μὲν εἰς εἱρκτὴν ἀπάγονται, εἶθ' ὑπὸ τῶν δικασῶν κρινόμενοι, καὶ κατακρινόμενοι, τοῖς ῥαβδέχοισι τε, καὶ δημίοις παραδίδονται· οἱ δὲ τέτες παραλαβόντες, ἐπὶ τὰ κολασήρια ἀπάγεσιν· ἀπαχθέντων δὲ μετὰ τὴν ψῆφον ἀπὸ τῦ κριτηρίυ, οἱ μὲν, ὅσοις ἡ μέλαινα ὐκ ἐπηνέχθη, ὐδὲ θάνατος κατεψηφίσθη, ἐν τοῖς δεσμωτηρίοις ἐπὶ ῥητῷ ἐγκατακλείονται χρόνῳ, οἱ δὲ διὰ βίυ ἐνταῦθα παραμένειν καταδικάζονται, οἱ δὲ ἁλύσεσι, καὶ πέδαις καταδεσμεύονται, οἱ δὲ

Die Uebelthäter werden von den Schergen aus dem Kerker, worin man sie zu foltern pflegt, zum Richtplatze (Rabenstein) geführet, oder geschleifet. Die Diebe werden vom Scharfrichter am Galgen gehenket; die Ehebrecher werden geköpfet (enthauptet); die Mörder, die Räuber und Seeräuber werden entweder gerädbrechet aufs Rad geleget, oder an einen Pfahl gespiesset; die Hexen (Unholde) wurden ehemals auf dem Scheiterhaufen verbrannt. Einigen wird, ehe sie gerichtet werden,

τῇ ποδοκάκῃ ἐμβάλλονται, οἱ δὲ τοῖς κύφωσι συνδȣμενοι, περισφίγγονται, οἱ δὲ μαςίζονται, ῥαβδιζόμενοι, οἱ δὲ καυτηριάζονται, ςίγμασι καταςιζόμενοι, οἱ δὲ ῥινοτομȣμενοι, ἢ ὠτοτομȣμενοι, κολοβȣνται, τὴν ῥῖνα, ϗ τὰ ὦτα προσαφαιρȣμένοι, εἰσὶ δ' οἳ καὶ χειροτομȣνται, ἐπ' ἐγκάλȣ στρεβλȣμενοι, οἱ δὲ πυράγραις καιομέναις σπαράττονται, οἱ δὲ γλωττοτομȣνται, ἄλλοι δὲ ταῖς τριήρεσιν ἐμβαλλόμενοι, κωπηλατεῖν καταδικάζονται, καὶ τȣτο διὰ βίȣ, ἢ μέχριτȣ· ἄλλοι δὲ ἐπ' ὄνȣ καθιζόμενοι, διὰ τῆς πόλεως ἐς ὄνειδος περισύρονται, ἄλλοι δὲ σιδηροδέσμιοι τὰς ἀγυιὰς σαρȣντες, τȣ βορβόρȣ καθαίρειν καταψηφίζονται, ἄλλοι δὲ ἐπὶ τὰς λατομίαςτε, καὶ μεταλλείας πέμπονται, ἄλλοι δὲ τῆς πόλεως ἐξοριζόμενοι, ἤτοι ἀειφυγίαν, ἢ μέχριτȣ καταδικάζονται, καὶ ἄλλοι ἄλλαις ποιναῖς κα-

die Zunge abgeschnitten, oder auf dem Blocke die Hand abgehauen, oder sie werden mit Zangen gebrennet. Denen man das Leben schenket, die werden an den Pranger gestellet, geprellet (gewippt), auf den Esel gesetzet, gestutzet, (der Ohren beraubet), ausgestäupet, gebrandmarket, verwiesen, auf die Galeeren oder zu ewigem Gefängniß verurtheilet. Die Feinde des Vaterlandes werden geviertheilet.

θυποβάλλονται· ὅσοι δὲ τὴν ἐπὶ θάνατον ἄγεσθαι κατακρίνονται, καί οἷς ἡ μέλαινα ἐπάγεται, διαφόρως καὶ ἔτοι θανατᾶνται, τᾶ ζῆν ὑςερᾶμενοι· οἱ μὲν γὰρ καρατομᾶνται, τήν κεφαλὴν ἀποτεμνόμενοι, οἱ δὲ σκώλωψιν ἀνασκωλωπίζονται, οἱ δ' ἀπάγχονται ταῖς ἀγχόναις. οἱ δὲ ςρεβλᾶμενοι, ἐξαρθρᾶνται, οἱ δ' ἐνβυθοῖς θαλάσσης, καὶ ἄλλων καταποντίζον τίζονται ὑδάτων, οἱ δὲ κατὰ κρημνῶν βάλλονται, οἱ δ' ἐν βαράθροις κατακρημνίζονται. οἱ δὲ ζῶντες κατορίττονται. οἱ δ' ἐν ὑπαίθρῳ, κρυμώδας ἄσης τῆς ὥρας, ἀποπηγνυνται, οἱ δὲ μεληδὸν κατατέμνονται, ἄλλοι δ' ἐπὶ τροχοῖς καταδεσμᾶμενοι, σκελοκοπᾶνται, καὶ διασπαράττονται, ἄλλοι δ' ἐν πυρὶ ῥιπτόμενοι, κατακαίονται, ἄλλοι δὲ τεθρίππῳ διασπῶνται, ἄλλοι δ' ὑπὸ τρεχόντων ἵππων διασυρόμενοι. καταμελίζονται. σπαραττόμενοι, καὶ ἄλλοι ἄλλως

τυμπανιζόμενοι, τὸ ζῆν ἀποβάλλειν. ἕκαστος κατα τὸ ἴδιον ἔγκλημα· τοιοῦτοι δ' ἂν εἶεν οἱ φονεῖς, οἱ λησταὶ, οἱ πειραταὶ, οἱ κλέπται, οἱ τυμβωρύχοι, οἱ της πατρίδος προδόται, και πολλοὶ ἄλλοι·

ΠΕΡΙ' ΜΕ'ΤΡΟΥ, ΚΑΙ' ΣΤΑΘΜΟΥ

Maaß und Gewichte.

§. 98.

Τοῦ μέν συνεχοῦς ποσοῦ τα μὲν τῇ ὀργυιᾷ, ἢ τῷ κυβίτῳ, εἴτουν πήχει μετρεῖν εἰώθαμεν, ὅσα δὲ ὑγρα τῷ χοεῖ, καὶ διαφόροις ἄλλοις μέτροις, τοῦ δὲ διακεκριμένου τὸ μὲν μεδίμνῳ, καὶ ἄλλοις μέτροις, τὸ δὲ μόνοις ἀριθμοῦμεν τοῖς ἀριθμοῖς· τα δὲ τῶν σωμάτων βάρη τῷ ζυγῷ σαθμῶμεν, διακρίνοντες ταύτῃ τὸ τοῦ βάρους ποσόν· ἔσι γε μὴν ὁ ζυγὸς διπλοῦς, ὧν ὁ μὲν ἐκ μεταλλικῆς τινος σύγκειται ῥάβδου, ἢ δὴ καὶ κυρίως ζυγὸς καλεῖται, ἐκ τῆς λαβῆς, ἐκ τῆς γλώττης, ἥτις ἀνάκρισις λέγεται, ἐκ τοῦ ἄξονος,

An einem Stücke hangende Sachen messen wir mit der Elle; flüssige mit der Maaß; dürre (trockene) Sachen mit dem Scheffel. Die Schwere der Dinge prüfen wir mit Gewichten und mit der Waage. An dieser ist erstlich der Waagbalken, in dessen Mitte die Axt, oben darüber das Waaggericht, worin das Zünglein geht (sich beweget); zu beyden Seiten sind die Waagschalen, welche an den Wagsträngen hängen. Die Schnellwaage wiegt die Sachen ab, welche an den Haaken gehängt werden: das Gewicht ge-



καὶ ἐκ τῶν πλαςίγγων, αἵπερ ἐκ τῶν τοῦ ζυγοῦ περάτων, διὰ νημάτων, ἢ σχοινίων, ἢ ἁλύσεων κρεμῶνται· τὰ δ' ἀπὸ τοῦ μεσαιτάτου τόπου τοῦ ζυγοῦ, ὅπου ὁ ἄξων. ἑκατέρωθεν μέρη, ἅπερ ζυγὰ λέγεται, ὡσαύτως καὶ τὰ νήματα σὺν ταῖς πλάςιγξιν ἴσον βάρος ἔχειν ὀφείλουσιν· ὁ δ' ἕτερος ἄνισα μὲν ἔχει τὰ ζυγὰ, καλεῖται δὲ φάλαγξ· ἥτις σύγκειται ἔκ τε τῶν ἀνίσων ἑκατέρωθεν ζυγῶν, κἀκ τῆς κρεμαμένης πλάςιγγος, λαβῆντε, καὶ ἀνάκρισιν, καὶ ἄξονα, ὡς καὶ ὁ προῤῥηθεὶς ζυγὸς, ἔχουσα· ἐν δὲ τῷ μείζονι αὐτῆς ζυγῷ καὶ βάρος τίθεται, ςαθμὸν, ἢ σφαίρωμα λεγόμενον, καὶ ἐλευθέρως ἐπ' αὐτῷ φερόμενον· σήκωμα δὲ, ἢ ἰσοῤῥοπίαν, ἢ ἰσοςαθμίαν ἐν τῷ ζυγῷ εἶναι λέγομεν, ὅταν αἱ ῥοπαὶ τῶν σωμάτων ἴσαι ἀλλήλαις ὦσι· τότε γὰρ ἀκίνητος μένει ὁ ζυγός· ἡ ἑτέρα καὶ γὰρ τῶν ἴσων ῥοπῶν

genüber zeiget an, ob an beyden Seiten ein Gleichgewicht sey, oder nicht?

τὴν ἑτέραν ἀπόλυσιν· ἀνάκρισις δὲ ἡ γλῶσσα κέκληται, διὰ τὸ δι' αὐτῆς ἀνακρίνεσθαι τὴν τῶν σωμάτων ἰσοῤῥοπίαν· ὅτω μὲν ὂν τά βαρέα τῶν σωμάτων ζυγοστατεῖται, καὶ σταθμᾶται· τὰ δὲ ὄργανα, δι' ὧν σταθμᾶται, ὁ μόνον ζυγὸς, καὶ φάλαγξ, ὡς εἴρηται, ἀλλὰ καὶ σταθμὸς, καὶ στατήρ, καὶ τρυτάνη κατονομάζεται, καὶ τάλαντον.

ΠΕΡΙ' 'ΕΝΤΑΦΙΑΣΜΟ͂Υ. — Das Begräbniß.

§. 90.

Τοὺς νεκροὺς οἱ μὲν τὸ πάλαι κατέκαιον, τῆς ὑπολειφθείσης τέφρας ἐν δροίταις, εἴτουν κάλπαις ἐναποταμιευομένης, οἱ δ' ἐταρίχευον, οἱ δὲ θάπτοντες, τῇ γῇ ἐναπετίθεντο· ἡμεῖς γε μὴν ἤδη τῇ σορῷ, εἴτε λάρνακι ἐγκαθείργοντες, ἐπὶ τοῦ φερέτρου, εἴτε κομίστρου ἀνατιθέμεθα, καὶ τῇ συνή-

Die Todten wurden vor Zeiten verbrannt, und die Asche in einem Kruge aufbehalten. Wir legen unsere Verstorbenen in einen Sarg, bahren sie auf (legen sie auf die Bahre), und lassen sie mit Leichengepränge nach dem Kirchhofe tragen, allwo sie nach verrichtetem Leichen-Gottesdien-

θει ἐπιταφίῳ ποιητῇ ἐκκομίζοντες, εἰς αὐτὸ αὖτὲς ἐκφέρομεν τὸ κοιμητήριον· ἔνθα τῶν νενομισμένων ἐπικηδείων τελεσθέντων, ὑπὸ τῶν νεκροφόρων, εἴτ' ἐνταφιαςῶν ἐπὶ τὸν τάφον προσκομιζόμενοι, ἐνταφιάζονται, κηδευόμενοι· ὁ δὲ τάφος λίθῳ ἐπικαλύπτεται μεγάλῳ, ἐν ᾧ ἐπικήδειόντι ἐγχαράττεται ἐπίγραμμα, τὰ περὶ τῦτε θνεῶτος ἐνβραχεῖ ἐξαγγέλλον· ἐκκομιζομένυ δὲ τῦ νεκρῦ, τὰ μὲν νενομισμένα ψάλλεται ἐπιτάφια, οἱ δὲ κώδωνες πληττόμενοι, ἀντηχῦσιν· ἀλλὰ ταῦτα μὲν καὶ περὶ τῆς κηδείας.

ste von den Todtengräbern ins Grab geleget und eingescharret werden; dieses wird mit dem Grabsteine bedecket, und mit dem Grabmale und Grabschriften gezieret. Wann die Leiche fortgetragen wird, werden Lieder gesungen und die Glocken geläutet.

ΠΙ'ΝΑΞ
ΚΑΤ' 'ΑΛΦΑ'ΒΗΤΟΝ ΤΩ'Ν ΛΕ'ΞΕΩΝ.

§. 1.

Α'βακίσκος· τὰ ἐν ἐδάφει τετράγωνα λιθάρια ἀβακίσκοι καλῶνται.

Αἰγιθαλος· ὄρνεον. ὅπερ πετόμενον, ψιθυρίζει· ἔςι δὲ καὶ βοτάνης εἶδος, ὅτω καλόμενον.

Αἴθυια· ἥτις καὶ ἐνάλιος καλεῖται κορώνη, ὄρνεόν ἐςιν, ἐν τοῖς αἰγιαλοῖς ἀ ειποτε διαιτώμενον.

Α'καλήφη· ἴσως παρὰ τὸ μὴ ἔχειν καλὴν ἀφήν· ἥτις ἐςιν ἡ κοινῶς Τζυκνίδα καλεμένη·

Α'κανθίς· ἀκανθίδες εἰσὶ ςρυθία, νεμόμενα ἐπ' ἀκανθῶν, ἢ ἐν ταῖς ἀκάνθαις καθήμενα· λέγονται ἔτι καὶ ἀκανθυλλίδες, ἃ ποικίλα τὴν χροιὰν ὄντα, καὶ ποικιλίδες καλῦνται.

Α'λευρότησις· κόσκινον μὲν τὸ ἐκ σχοίνε πλέγμα, κρησέρα δὲ τὸ ἐξ ἐρίε, καὶ ἀλευρότησις τὸ ἐκ σινδονίε λινε καλεῖται κόσκινον.

Α'λλάς· εἶδος ἐντέρων, ἐξ ὧν τὰ νῦν λυκάνικα καλέμενα, καὶ αὐτὰ τὰ λυκάνικα· ἀλλὰ διαφόρως κατεσκευασμένα, διάφορα καὶ τὰ ὀνόματα ἔχυσι.

Α'μάρακος· γένος μύρυ, ἀπὸ φυτὸ ἀμαράκου καλυμένου, ἢ σαμψύχου· σάμψυχος δὲ τὸ καλέμενον μάλαθρον, ἢ μάραθρον.



Α'μάραντος· εἶδος φυτȣ͂ ἀειθαλλὲς, καὶ ἀμαράντιον, ἀφ' ȣ͂ οἱ ἀμαράντινοι ςέφανοι πλέκονται.

Α'μαλλα· ἡ μὲν συνεχὴς τῶν χειρῶν συναγωγὴ, πυκνῶς εἰς πλῆθος ἐπιφερομένων, πίτυλος καλεῖται, τὸ δ' ἔνδοθεν, δράγμα· ἄμαλλα δὲ, καὶ ἴȣλος ἡ δεσμὴ τῶν δραγμάτων, εἴτε τὰ εἰς δεσμὴν συναθροισθέντα δράγματα καλεῖται.

Α'μφορεὺς· ἀγγεῖον καράμειόν ἐςιν, ἑκατέρωθεν αἰρόμενον, ἢ μέτρον κεράμειον μεγαρικὸν, ȣ͂τω καλȣ́μενον παρὰ τοῖς παλαιοῖς·

Α'νακλιντήριον· τὸ κοινῶς λεγόμενον, ἢ τȣρκιςὶ Ταχταρβάνι.

Α'νθέριξ· παρὰ τὸ ἄνθος, καὶ σημαίνει τὰ ἄκρα τῶν ἀςαχύων, τὰ δίκην τριχῶν ἐξέχοντα.

Α'νθήλη· ἄνθος τὸ ἐκπαπȣ́μενον, ἀνθήλη καλεῖται· ἔνιοι δὲ καὶ πώγωνα τὴν ἀνθήλην ἐκάλȣν.

Α'νθρήνη· ἀνθρῆναι εἶδος σφηκῶν ȣ͂τω καλȣμένων, ἢ μελισσῶν εἶδος, ὅμοιον σφηξίν· ὁμοίαν γὰρ τὴν ἀνθρήνην τῇ μελίσσῃ Ἀριςοτ. φησὶν εἶναι.

Α'ντίον· ξύλον ἐςὶν, ὃ καὶ ζυγὸς καλεῖται, ἐν ᾧ οἱ σήμονες περιελίττονται ἐν τῷ ἱςȣργείῳ.

Α'πȣς· ὄρνεον ἄπȣν, ȣ͂τω καὶ νῦν καλȣ́μενον, ἴσως παρὰ τὸ μὴ ἔχειν πόδας· παρὰ δὲ τῷ Ἀριςοτ. κύψελλος καλεῖται.

Α'ρβηλον· ἄρβηλα λέγεται τὰ κυκλοτερῆ σιδήρια, οἷς οἱ σκυτοτόμοι τέμνȣσι, καὶ

ξέυσι τὰ δέρματα· τȣ̃το δ' ἔτι καὶ σμιλίον σκητικὸν καλεῖται.

Α'ρβύλη· ἀρμύλη, καὶ ἀρβύλη, εἶδος ὑποδημάτων, περισσῶς εἰργασμένων· ἢ παρὰ τὸ ἁρμόζεσθαι τοῖς ποσὶν, ἀρβύλη.

Α'ργιλλος· ἡ λευκὴ γῆ.

Α'ρκευθος· δένδρον ἐςὶν ἀκανθῶδες, ὅπερ καὶ ἀγρία, καὶ ἄκαρπος καλεῖται πίτυς· ὅμοιον δὲ τὸ εἶδος, καὶ μέγεθος τῇ πίτυϊ.

Α'ρκυςάσια· ἀρκυςασία, καὶ ἀρκυςάσιον τόπος, ἐν ᾧ αἱ ἄρκυς τείνονται· ἀρκυςάσια δὲ οἱ ςάλικες, ἐφ' ὧν αἱ ἄρκυς τεινόμεναι, κατέχονται.

Α'ρπάγη· ἀρπάγη, καὶ λύκος, καὶ ξυςὴρ, σκεῦός ἐςιν, ᾧ οἱ μάγειροι ἐμβάλλȣσιν εἰς τὸν φȣ̃ρνον τὰ κρέα, καὶ ἐκβάλλȣσιν.

Α'ρτέμων· ὁ μὲν μέγας, ϗ γνήσιος ἱςὸς, ὁ ἐν μέσῳ τῆς νηὸς ἱςάμενος, ἀρτέμων, ϗ ἀκάτιος καλεῖται, ὁ δὲ κατόπιν ἐπίδρομος, ϗ ὁ ἐλάττων, δόλων· ὡσαύτως δὴ ϗ ἐπὶ τῶν ἀρμένων· τὰ μὲν μεγάλα ἱςία ἀρτέμονες καλȣ̃νται, ἐπίδρομος δὲ τὸ μετὰ τȣ̃το, καὶ τὸ ἐν τῇ πρύμνῃ κρεμάμενον ἱςίον, ὃ καὶ φάρον, καὶ ἔλασσον καλεῖται· καὶ δόλωνες τὰ μικρὰ ἱςία.

Α'ρυςὴρ, ἢ σύριγξ, τὸ δι' ȣ̃ ὁ οἶνος ἀρύεται ὄργανον, δηλονότι ὁ νῦν πύρος, ἢ τίλος τῶν πίθων καλȣ́μενος·

Α'σκαλώπας· ὄρνεον, ὅμοιον ὄρνιθι τὸ μέγεθος, κατ' Ἀριςοτ. βιβ. θ'.

Ἀσκέρα· πηλοβατὶς, κνημίς. ἀσκέραι, καὶ πηλοβατίδες ὑποδημάτων εἴδη εἰσὶ, παρὰ τοῖς Ἀττικοῖς ὅτω καλουμένων· κνημίδες δὲ ἴσως μεταφορικῶς ἀπὸ τῶν ἀνθρωπίνων κνημῶν, ὑποδημάτων εἴδους μέχρι τῶν κνημῶν· ἅπερ χειμῶνος χρήσιμα γίγνεται.

Ἀτμός· δύωτινὲς ἀπὸ τῆς οἰκουμένης συνεχῶς ἀναφέρονται εἰς τὸν ὑπὲρ ἡμᾶς ἀέρα λεπτομερεῖς ἀναθυμιάσεις· τούτων δὲ ἡ μὲν ἐστι ξηρὰ, καὶ καπνώδης, ἀπὸ τῆς γῆς ἀποῤῥέουσα, ἥτις ἀτμὶς, καὶ ἀναθυμίασις καλεῖται· ἡ δὲ νοτερὰ, καὶ ἀτμώδης, ἀπὸ τῆς ὑγρᾶς φύσεως ἀναθυμιωμένη, ἥτις ἀτμὸς καλεῖται.

Ἀφύαι· ἀφύαι, καὶ ἀφρύαι καλοῦνται τὰ ἐν τῷ ἀφρῷ ἐκνηχόμενα παρὰ τῇ θαλάσσῃ ἰχθύδια.

Ἀψὶς· ἀψὶς καλεῖται ὁ τῶν ἁμαξῶν ξύλινος κύκλος· Ὅμηρος δὲ, ὅλον τὸν κύκλον ἀψίδα ὀνομάζει.

§. 2.

Βάτος· εἶδος ἰχθύων, καὶ νῦν κατὰ τόπους ὅτω καλουμένων.

Βασιλικὸν κάρυον· καρύα μὲν τὸ δένδρον, κάρυα δ' ὁ καρπὸς καλεῖται· τὰ βασιλικὰ κάρυα, ἃ καὶ περσικὰ ἔνιοι ἐκάλουν, κεφαλαλγῆ, καὶ δύσπεπτα, καὶ κακοστόμαχα, καὶ χολοποιά ἐστιν· αὐτὰ δὲ ταῦτά ἐστιν, ἃ καὶ νῦν κάρυα καλοῦνται· σαρδανοὺς βαλάνους, καὶ Διὸς βαλάνους, καὶ

ποντικὰ κάρυα, ἃ καὶ λόπιμάτινες, ὀνομάζουσι τὰ νῦν κάςανα, ἢ καςάνεα καλούμενα· τὸ δ' ἰνδικὸν κάρυόν, καὶ μυρεψικὸνκάρυον, ἢ μυροβάλανος, ἢ τῶν μυρεψῶν καλεῖται βάλανος.

Βολίς· σκεῦος σιδηροῦν, κωνοειδὲς, ᾧ οἱ ναῦται χρῶνται, δοκιμάζοντες τὰ βάθη τῶν ὑδάτων.

Βότρυχος· βότρυχοι. ἐξ ὧν αἱ ῥάγες ἀπαιωρούμεναι, τοῖς βότρυσι συνέχονται.

Βούςασις· ὁ κοινῶς λεγόμενος ὀβορὸς, ἢ τόπος ἔνθα οἱ βόες τὸ θέρος διανυκτερεύουσι.

Βρύον· ἄνθος χόρτου, λευκὸν τὸ εἶδος, καὶ τῷ τῆς ἐλαίας ἄνθει ὅμοιον, ὅταν ἄρτι φύηται, ᾧ εἰς κατασκευὴν ζύθου χρῶνται· βρύον ἔτι, καὶ φύκος, τὸ τῆς θαλάσσης ἐξερχόμενον ἀχυρῶδες καλεῖται.

Βύνη· βύνη καλεῖται ἡ βεβρεγμένη κριθὴ, καὶ βλαςήσασα, καὶ πεφρυγμένη ἐν πυρί.

§. 3.

Γίγας· τέρατά εἰσιν, ὁ μὲν γίγας μέγας τὴν ἡλικίαν, καὶ ἰσχυρός· οἱ δὲ νάνοι, καὶ νάννοι, οἱ κολοβοὶ τῶν ἀνθρώπων, οἵτινες καὶ νανοφυεῖς.

Γεῖσα, καὶ γεῖσσα, καὶ γειτσώματα, τὰ θεμέλια, καὶ πᾶν τὸ ἐξέχον μέρος τῆς οἰκίας, ϗ τὰ πρὸ τῶν θυρῶν ςεγάσματα.

Γλαίξ· πετεινὸν νυκτερινὸν, ὃ νῦν κουκουβάϊα καλεῖται

Γύψ· σαρκοφάγον ὄρνεον, ὅπερ Καρτάλια νῦν καλεῖται.

§. 4.

Ἑδώλια· αἱ ἐν ταῖς ναυσὶ καθέδραι, ἐφ' ὧν οἱ ἐρέται καθεζόμενοι, κωπηλατοῦσιν, ἑδώλια καλεῖται.

Ἔλασμα· αἱ κοινῶς βέργες καλούμεναι, καὶ λατινιστὶ λάμιαι σιδήρων.

Ἐλάτη· δένδρον εἰς ὕψος ἀνατεταμένον, ἥτις καὶ οὐρχνομήκης ἐλάτη καλεῖται.

Ἕλιξ· ἕλικες οἱονεὶ πλόκαμοι τῶν ἀμπέλων πεφύκασιν, αἷς αἱ ἄμπελοι ἀπαιωροῦνται ἐν τοῖς χάραξιν, εἴτουν σάλιξιν.

Ἕλκηθρον· εἶδος ἁμαξῶν ἐπὶ τῆς χιόνος, ἢ πάγου ἑλκόμενον.

Ἔλυτρον· ἔλυτρα τὰ τῶν καρύων, κασάνων, καὶ ἄλλων καλεῖται ἐκκαλύμματα, ἐν οἷς τὸ περικάρπιον· ὁ γὰρ καρπὸς συγκείμενός ἐστιν, ἔκτε τοῦ περικαρπίου, καὶ τοῦ ἐν αὐτῷ σπέρματος.

Ἔμβαμμα· ἐμβάμματα καλεῖται τὰ ἐκ τῶν κρεάτων ζωμῶν, ἢ ἄλλου τινὸς κατασκευασθέντα ὑγρὰ, εἰς ἃ ἐμβάπτονται τὰ κρέατα, ἢ ὁ ἄρτος.

Ἔμβολος· τὸ τῆς νηὸς ἔμπροσθεν ὀξὺ, ἔμβολον δὲ τὸ περιτεθειμένον κατὰ πρῶραν ταῖς ναυσὶ χάλκωμα.

Ἐνηβητήρια, καὶ ἐνευωχητήρια, καὶ συμπόσια ἔνιοι καλοῦσι· ἰσοδυναμεῖ δὲ μὲ τὸ παρ' ἡμῖν μπαχτσέδες λεγόμενον.

Εὐνή· ἡ κλίνη, καὶ τὸ παρ' ἡμῖν στρῶμα καλούμενον· ἑρμῖνες δὲ, οἱ τῆς κλίνης πόδες.

Ἐπιλαΐς· ἡ ἐπιλαῒς, ἥτις καὶ ἐπιλωῒς καλεῖται, ἐπωάζει τὰ τῶν κοκκύγων ὠὰ μᾶλλον,

ἢ τὰ αὐτῆς, κατὰ τὸν Θεόφρ. οὐδ' ἂν ἦν γένεσις κόκκυγος, εἰμὴ ἦν ἐπιλωΐς.

Ἐπίπλοον· ὁ ἐπὶ τῆς κοιλίας, καὶ τῶν ἐντέρων πιμελώδης ὑμὴν, ἐπίπλοον καλεῖται.

Ἐπίσαγμα· τὸ ἐπισαττόμενον τοῖς ὄνοις ἐκ διαφόρων συῤῥαγμάτων, δηλ. τὸ παρ' ἡμῖν φόρτωμα τῶν ὑποζυγίων.

Ἐρίθακος· οἱ ἐρίθακοι, καὶ οἱ καλούμενοι φοινικουργοὶ διαφέρουσιν ἀλλήλων οὐθὲν, ὡς εἰπεῖν, ἀλλ' ἡ τῇ χρόᾳ μόνον· ἔστι δὲ ὁ μὲν ἐρίθακος χειμερινὸς, οἱ δὲ φοινικουργοὶ θερινοί.

Ἐρυσίβη· ἡ γινομένη ἐπὶ τῶν δένδρων, χόρτων, καὶ ἄλλων σῆψις τοῦ ἐφισαμένου ὑγροῦ ἐρυσίβη καλεῖται.

Ἐρωδιός· καὶ ἐλωδιὸς, καὶ λευκορωδιός· ὄρνεον περὶ τὰς λίμνας, καὶ ποταμοὺς διαιτώμενον.

Ἐφίππιον· τὸ κοινῶς σέλλα, ἢ σαμάρι τῶν ἵππων καλούμενον.

Ἐχέσαρκον· Χειτώνιον ἐχέσαρκον, τὸ κοινῶς ὑποκάμισον.

§. 5.

Ζύθος· ὁ ἐκ τῆς κριθῆς κατασκευαζόμενος οἶνος ζύθος καλεῖται.

Ζωμήρυσις· ἡ κρεάτων ἀφρηλόγος, εἴτε ὁ δοῖδυξ, ᾧ τὰ κρέατα ἀπαφρίζομεν, ζωμήρυσις, καὶ γλωσσάριον καλεῖται.

§. 6.

Θαιροί· αἱ πλάγιαι πλευραὶ τῆς ἁμάξης, εἴτε τῆς ὑπερτερίας τῆς ἁμάξης, τὰ ἑκατέρωθεν πλευρά.

Θορός· ἡ ἔκκρισις τοῦ σπέρματος, ἀπὸ τοῦ θορῶ τὸ ὁρμῶ, ὁ μεθ' ὁρμῆς πεμπόμενος.

Θριδακίνη, καὶ θρίδαξ· εἶδος λαχάνου, ὅπερ καὶ μαΐουλιον, καὶ θεριδακίνη καλεῖται.

§. 7.

Ἰκτίν·
φάλκων·
Σπιζίας·
Ἱέραξ·
Ἱεροφάλκων·
} εἴδη ἱεράκων, οὕτω καὶ νῦν ἴσως καλουμένων κατὰ τόπους.

Ἱερὰ ἄγκυρα· ἄγκυρα μὲν ἐφ' ἧς ἡ ναῦς ἐρειδομένη, κατέχεται ἐν τῇ θαλάσσῃ, ἱερὰ δ' ἄγκυρα ᾗ χωρὶς ἀνάγκης οὐ χρῶνται.

Ἱμονιά· τὸ τῶν ἀντλημάτων σχοινίον, δηλ. ᾧ τὸ ἄντλημα συνδεῖται εἰς ἐξάντλησιν ὕδατος, ἱμονιὰ καλεῖται·

Ἴον· τὸ καὶ λείριον, καὶ κρίνον κατάτινας, καὶ τουρκιστὶ μανουσάκι καλούμενον.

Ἰσθμός· ἡ ἀμφιθάλασσος γῆ, εἴτε ἡ στενὴ γῆ, ὑπὸ θαλασσῶν περιεχομένη, ἰσθμὸς καλεῖται.

Ἰσχίον· ἰσχίον καλεῖται τὸ συνέχον τὴν κοτύλην νεῦρον πρὸς τὸν μηρὸν, ἢ τὸ ὑπὸ τὴν ὀσφῦν ὀστοῦν, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς, καὶ κοτύλη καλεῖται.

Ἴυγξ· ἴυγξ, καὶ σείσουρα, καὶ κίναιδος, καὶ κίγκλος κατὰ τόπους· τὸ μὲν εἶδος ποικίλον, περιστρέφει δὲ τὸν τράχηλον εἰς τοὔπισω, τοῦ λοιποῦ σώματος ἠρεμοῦντος. καθάπερ ὁ ὄφις· ὄνυχας δὲ μεγάλους μὲν ἔχει, ὁμοίως μέντοι πεφυκότας τοῖς τῶν κολοιῶν, τῇ δὲ φωνῇ τρίζει.

§. 8.

§. 8.

Κάλλαιοι· τὰ τῶν ἀλεκτρυόνων γένεια, εἴτε πώγωνες.

Καλπὶς, καὶ κάλπη· ἡ ὑδρία, ἢ καδίσκος, ἐν ᾧ καθίεσαν οἱ δικασταὶ τὰς ψήφους.

Κάνθαρος· εἶδος ποτηρίου, ἀπὸ τοῦ κατασκευάσαντος τὴν κλῆσιν ἔχον· καὶ κάνθαρος μικρὸν ζωΰφιον κολεόπτερον.

Κάνη· χόρτον καλαμοειδὲς, ἐξ οὗ αἱ ψίαθοι πλέκονται· κάνης δὲ καὶ ἡ ψίαθος.

Κανθός· ὁ τοῦ ὀφθαλμοῦ κύκλος· καὶ τὸ περὶ τὸν τροχὸν τῆς ἁμάξης σιδήριον, τὴν ἴτυν περιβαλλόμενον.

Κάπρος· σῦς ὁ ἄγριος, εἴτουν ἀγριόχοιρος.

Καταῤῥάκτης· ὁ σφοδρὸς, καὶ ἀθρόος καταφερόμενος ὄμβρος.

Καταιγίς· ὁ μετ' ἀνέμων ὄμβρος, εἴτε τὸ βίαιον πνεῦμα προσβαλλόμενον, καταιγὶς, ἄελλα, καὶ θύελλα καλεῖται.

Καλώδιον· τὸ σχοινίον· κάλως δὲ τὸ παχὺ σχοινίον τῆς ἀγκύρας, δι' ἧς ἡ ἄγκυρα ἐγχαλᾶται τῇ θαλάσσῃ.

Κέπφος· εὐτελέστατον, καὶ λάλον ὄρνεον, ὅπερ προσέτι εὐήθης, καὶ λάρος, καὶ ἄφρων καλεῖται.

Κεραία· τὸ ἐπάνω τοῦ ἱστοῦ δεδεμένον πλάγιον ξύλον, οὗ ἐξάπτεται ἡ ὀθόνη, κεραία, καὶ ἱστοκεραία καλεῖται.

Κημός· εἶδος χαλινοῦ, καὶ φιμὸς, τὸ κοινῶς καπίστριον λεγόμενον.

Κῆτος· θαλάσσιον θηρίον.

Κιγκλίς· ἡ ὀπὴ, δι᾽ ἧς ἡ κλεῖς πέμπεται· κιγκλίδες, καὶ αἱ δικλίδες, κιγκλίδες ἔτι καὶ αἱ θυρίδες.

Κιςίς· ἡ μὲν κισὶς εἰς ὑποδοχὴν ἐδεσμάτων, αἱ δὲ κιβωτοὶ ἐς ἱματίων, καὶ χρημάτων.

Κίχλη· κίχλην, καὶ κιχήλην τὰς ἰξοφάγες, καὶ ἐλαιοφάγες ὄρνιθας καλᾶσι.

Κληματίς, καὶ φρύγανον καλᾶνται οἱ ἀπολειπόμενοι κλῶνες τῶν πελεκισθέντων ξύλων· κληματίδες ἔτι καὶ αἱ ἐκ τῶν κλημάτων δεσμαί.

Κνέφαλον· ἡ ἁπαλὴ ςρωμνὴ, καὶ μαλακὴ, καὶ βαθεῖα κνέφαλον καλεῖται· ὅθεν κνέφαλα προσκεφάλαια.

Κνῆσις· κνῆσις, καὶ κνῆςρον, καὶ τυροκνήςη ἐςί τι ὄργανον, ἢ μαχαίριον, ᾧ ξύεται ὁ τυρός.

Κοκκύμηλον· τὸ νῦν δαμάσκηνον καλᾶμενον· τὸ δὲ δένδρον κοκκυμηλέα.

Κόκκυξ· ὁ νῦν κᾶκκος καλᾶμενος.

Κολοιός· παρὰ τᾶ κλῶ τὸ φωνῶ γίγνεται κλὸς, καὶ κολοιὸς κατὰ πλεονασμὸν, κρακτικὸν, καὶ συναγελαςικὸν ὄρνεον, ὃ νῦν καλλιακᾶδα καλεῖται κατὰ τόπες.

Κόμαρος· δένδρον ἐςὶ παρόμοιον βατάνῃ τινὶ κυδωνίᾳ καλᾶμένῃ, λεπτόφυλλον, καὶ λεπτόφλοιον, ᾶτινος ὁ καρπὸς μεμαίκυλον καλεῖται.

Κονία, καὶ κονίαμα· ἡ συμφυραμένη τῷ ἄμμῳ ἄσβεςος.

Κοπίς· εἶδος μαχαιρῶν, ᾧ οἱ κρεᾶργοὶ τᾶς βόας, καὶ τὰ λοιπὰ ἀποσφάττᾶσι, κρεᾶργᾶντες.



Κορύνη, ϗ ῥόπαλον, ῥαβδώδη, ϗ ἔναγκα ῥόπαλά εἰσι· ἐνίοτε δὲ ϗ τὸ πρὸς τῇ ἀκρωμίᾳ ἄρθρον, ϗ τὸ πρὸς τῷ ἀγκῶνι κορύνη καλεῖται.

Κοιτών· οἰκημάτιον, τὸ ϗ ἀφοδευτήριον καλȣ́μενον.

Κύβιτον· τὸ ὠλέκρανον, ὅπερ ϗ ἀγκών· Διοσκ. δὲ τὸν κόνδυλον εἶναι τȣ̃ βραχίονος λέγει· ϗ ὁ πῆχυς καλȣ́μενος.

Κυπρῖνος· ἰχθὺς θαλάσσιος ἐκ τῶν σαρκοφάγων, ϗ συναγελαςικόν.

Κυρβασία· τὸ ἐπὶ τῆς κεφαλῆς τῶν ἀλεκτρυόνων κυρβασία, ϗ λόφος καλεῖται.

Κύρτος· κύρτος, ϗ τάλαρον σχοινῶδες ἀγγεῖον, ᾧ οἱ ἁλιεῖς χρῶνται, νύκτωρ ἁλιεύοντες.

Κυφήν· εἶδος μελιττῶν ἄεργον, δαπάνη μόνον ζημιȣ̃ν τὰς φιλοπόνȣς μέλιττας.

Κύφων· δεσμὸς ξύλινός ἐςι, ᾧ τȣ̃ αὐχένος ἐντεθέντος, δεῖ μαςιγȣ̃σθαι τὸν περὶ τὴν ἀγορὰν κακȣργȣ̃ντα· ὃς ϗ τύμπανον καλεῖται.

Κωλήν· τάτε ἐμπρόσθια, ϗ ὀπίσθια τῶν χοίρων μέρη τεταριχευμένα, κωλῆνες, ϗ πέρναι, ϗ πετασῶνες καλȣ̃νται.

Κῶλον· μονέντερον, ἢ κῶλον διὰ τὸ μὴ ἔχειν τινὰ σύνδεσμον τοῖς λοιποῖς, ἀλλὰ κυλίεσθαι καθ' ἑαυτὸ, ὃ ϗ πυλωρὸς καλεῖται· πυλωρὸς ὁμοίως παρὰ τὴν πέζαν, ϗ ὁ πυθμὴν καλεῖται τῆς κοιλίας.

Κωφὸς τετράων· ὁ παρ' ἡμῖν ἄγριος πετεινός.

Κρώπιον· δρέπανον· ϗ ὄργανον ςρεβλωτήριον, τȣ̃ πυτινοπλόκȣ ἴδιον.

§. 9.

Λάβραξ· θαλάσσιος ἰχθῦς, ὅτω καλέμενος, ὅτι λάβρως, ϗ ἀθρόως τὸ δέλεαρ καταπίνει· ϗ λύκος προσέτι τῶν ἰχθύων καλεῖται, ἴσως παρὰ τὴν λαβρότητα.

Λαίλαψ· ἡ μετὰ ὑετȣ̃ συστροφὴ τῶν ἀνέμων, εἴτε πνεῦμα βίαιον, ϗ εἰλέμενον κάτωθεν ἄνω, λαίλαψ, στρόβιλος, ϗ δίνη καλεῖται.

Λαμία, ϗ λαιμία· θηρίον, ἀπὸ τȣ̃ ἔχειν μέγαν λαιμὸν, ϗ κατὰ Δῶριν, γυναῖκα καλὴν γενέσθαι τὴν λαμίαν.

Λαμπήνη· ἅμαξα βασιλικὴ, ἢ ἅρμα σκεπαστόν· τὸ βαλαχιστὶ λεγόμενον καρέτα.

Λάσαυρος· ὁ λάσιος ταῦρος.

Λεωφόρος· ἡ τὸν λαὸν φέρȣσα ὁδὸς, τȣτέστι, δι᾽ ἧς οἱ λαοὶ ὁδεύȣσιν, ἥτις ϗ λαοφόρος καλεῖται.

Λευκίσκος· θαλάσσ. ἰχθῦς, ὃς παρ᾽ ἡμῖν ἀσπρίτης καλεῖται.

Λιβανωτίς· πόα, ἥτις λατινιστὶ, ϗ κοινῶς ῥοσμαρῖνος καλεῖται.

Λινȣργός· ὀρνιθάριον, ἐν τοῖς λίνοις τὰ πολλὰ διαιτώμενον, ὅθεν ϗ λινȣργός.

Λύγος· λύγος μὲν λέγεται ὁ ἁπαλὸς κλάδος, ϗ τὸ ἱμαντῶδες φυτὸν, λύγος δὲ τὸ στρεβλωτήριον ὄργανον, ϗ ὄργανον, ἐν ᾧ τὰ κολλώμενα ἐμβάλλεται.

§. 10.

Μαινίς. εἶδος ἰχθύος, ὅτω καὶ νῦν καλόμενον.

Μαρίλη· ἡ τῶν ἀνθράκων λεπτὴ τέφρα, καὶ σποδιὰ, εἴτε ὁ χνὸς τῶν ἀνθράκων μαρίλη, καὶ θερμοσποδιὰ καλεῖται.

Μέδιμνον· τὸ μόδιον, ἢ μέτρον ἀττικὸν, ὅπερ ἐςι μέτρον ξηρῶν, οἷον πυρῶν, ἢ κριθῶν, καὶ ἄλλων, ἔχει δὲ χοίνικας ὀκτὼ καὶ τεσσαράκοντα.

Μελεαγρίδες· ἀφρικαναὶ ὄρνιθες, ἃς καὶ ἰνδιάνες καλόσι.

Μελοπέπων· τὸ παρ' ἡμῖν ξηράγκορον καλόμενον.

Μελών· τὸ κοινῶς καρπόζιον λεγόμενον.

Μολοσσός· μολοττὸς, καὶ μολοσσός, κύων ὁ ποιμενικὸς, καὶ μέγας, ὃς καὶ πυῤῥιάδης ἐκαλεῖτο.

Μονήρης· μονήρης ναῦς, ἡμίαν μόνην ςέγην ἔχυσα, ἢ μονήρης ναῦς λέγεται, ἡ ὑφ' ἑνὸς ἐρέτυ ἐλαυνομένη.

Μύκης· τὸ κοινῶς μανητάριον καλόμενον.

Μυοξός· οἱ ἐν αἰγύπτῳ μύες σκληρὰν ἔχυσι τὴν τρίχα, σχεδὸν ὥσπερ οἱ χερσαῖοι ἐχῖνοι· εἰσὶ δὲ καὶ ἕτεροι, οἳ βαδίζυσιν ἐπὶ τοῖς δυσὶ ποσί· τὰ γὰρ πρόσθια μικρὰ ἔχυσι, τὰ δ' ὀπίσθια, μεγάλα, τὸν δὲ μυοξόν φασιν οἱ φυσιολόγοι ἐμφωλεύειν, καὶ τὰ γεννήματα αὐτῦ ἐπὶ τὸ αὐτὸ πολλὰ τίκτειν, ἕως πέντε, καὶ ἔτι.

Μύρτα· μύρτα, ὁ τῆς μυρσίνης καλεῖται καρπὸς, ὃς ἐςιν οἰκεῖος ὄρνισιν εἰς τὸ ἐσθίειν.

Μυών· μυῶνες, σάρκες συνεςραμμέναι, καὶ νευρώδεις εἰσὶν, οὓς οἱ κοινολεκτοῦντες ποντικοὺς φασι μεταληπτικῷ τινι τρόπῳ, δηλ. ὡς ἠγαςροκνημία, ἣν ἡ τῶν πολλῶν γλῶσσα ἄντζαν φησὶν, ἥτις ἐκ νεύρων σύγκειται.

§. 11.

Νάρδος· εἶδος χόρτου μυρεψικοῦ, ςάχυας ἔχον, ὡς ἔςιν ἰδεῖν νάρδων ἀμφοτέρων ςάχυς, κελτικῆςτε, καὶ ἰνδικῆς.

Νεβρός· ἐλάφου γέννημα, τὰ μὲν νέα νεβροὶ, αἱ δ᾽ ἀρτίως ἐκ νεβρῶν εἰς ἐλάφους μεταβάλλουσαι, καλοῦνται κεμάδες, τὰ δὲ τέλεια, οὐκ ἄλλοτι, ἢ ἔλαφοι.

Νῆττα· εἶδος ἰχθύων οὕτω καλούμενον, ἴσως ἀπὸ τοῦ νήχεσθαι· ἔτι τὸ κοινῶς νησυάριον, καὶ παπί.

§. 12.

Ξάνιον, εἴτε πλάξ· ξύλον ἐςὶν, ἐφ᾽ οὗ οἱ ξυλουργοὶ διευθύνουσι τὰ εἰς οἰκοδομὴν ξύλα, ὅπερ καὶ ἐλεὸν καλεῖται· ἐλεὸν οὐ μόνον τὸ μαγειρικὸν τραπέζιον, ἀλλὰ καὶ ἡ πλὰξ, ἐφ᾽ ἧς ὁ ξυλουργὸς πελεκίζει, ἢ ξύει τὴν ὕλην, ἐλεὸν καλεῖται.

Ξυνωρίς· ἡ δυὰς, ἀπὸ τοῦ ἄρω, τὸ ἁρμόζω· ξυνωρὶς οὐ μόνον ἐπὶ τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ τῶν ἵππων, καὶ βοῶν, καὶ ἄλλων λέγεται ζώων.

§. 13.

Ὀβελίσκος· ἡ νῦν σοῦβλα τῶν κρεάτων καλουμένη· τὸ δ᾽ αὐτόματον, μηχανή ἐςι, πρὸς

τὴν τῶν κρεάτων ὄπτησιν, αὐτομάτως κινȣμένη.

Ὁλκάς· ναῦς ἐμπορικὴ, ἥτις τὸ εἶδος ϛρογγύλη ἐϛὶν, ἢ τὸ μέγα πλοῖον, τὸ δὲ πλοιάριον ἐφόλκιον καλεῖται.

Ὅλμος, ϗ ἴγδη, ϗ θυεία τὸ παῤ ἡμῖν γȣδίον καλȣ́μενον, ὅπερ ἐϛιν ἐργαλεῖον μαγειρικὸν, ὅλμος ἐκλήθη παρὰ τὸ ὄλλειν, ϗ μειȣ̃ν τὰ ἐν αὐτῷ πτισσόμενα· ὕπερος δὲ τὸ ὅλμȣ κόπανον.

Ὀνίσκος· ὄνος, ϗ ὀνίσκος εἶδος ἰχθύων· ὅςπερ ϛόμα μὲν ἔχει ἀνεῤῥωγὸς, ϗ τοῖς ἀγελαίοις ὅμοιος, ȣ̓συναγελαϛικός δὲ ϗ μόνος ȣ̃τος ἰχθύων τὴν καρδίαν ἐν τῇ κοιλίᾳ, ϗ ἐν τῷ ἐγκεφάλῳ λίθȣς ἐμφερεῖς μύλαις ἔχει.

Ὀξαλίς· εἶδος θάμνων· ὀξαλὶς ϗ ἡ ὀξεῖα τρύξ, ϗ ὁ ὀξίνης οἶνος.

Ὀσφῦς. τὰ μετὰ τὴν ζώνην ἑκατέρωθεν ἰσχία, ἢ ὁ παρὰ πλευρὸν διάκενος τόπος, ὃς ϗ λαγὼν, ϗ ψόαι, ϗ διάζωμα καλεῖται.

Οὐροπύγιον· ȣ̓ρὰ μὲν μόνον ἐπὶ τῶν ζώων λέγεται. ἐπὶ δὲ τῶν πτηνῶν ȣ̓ροπύγιον.

Ὄρτυξ· εἶδος ὀρνίθων, ἅπερ τὰ νῦν ὀρτύκια καλȣ̃νται.

Ὄρκη· σκεῦος, ἐν ᾧ τὸ γλεῦκος ἅμα τοῖς ϛεμφύλοις ἐκ τȣ̃ ϛαφυλοβολείȣ ἐμβαλλόμενον, τῷ ληνῷ ἐγχεῖται.

§. 14.

Παλεύτρια· παλευτρίας ἐκάλȣν τὰς τετυφλωμένας ὄρνιθας, ϗ ἐν δικτύῳ ἱϛαμένας, δι' ὧν αἱ ὁμογενεῖς ἐξηπατῶντο ὄρνιθες· λέ-

γονται παλεύτριαι, ϗ ἐπαγωγοὶ, αἱ ἀπατηλαὶ, ϗ ψευδεῖς γυναῖκες.

Πάνθηρ, ϗ πάρδαλις, ϗ πάρδος ἄγριον, ϗ ὁρμητικὸν ζῶόν ἐςι κατὰ Ἀριςοφ.

Πελεκᾶν, ϗ πελεκᾶς, ϗ δενδροκολάπτης, ἢ δρυοκολάπτης, ὄνομα ὀρνέου τρυπῶντος τὰ δένδρα. κατὰ δὲ Ἀριςοτ. ὄρνεον ἀγελαῖον ὁ πελεκᾶς ἐκτοπίζουσί, φησιν, οἱ πελεκᾶντες, ϗ πέτονται ἀπὸ τοῦ ςρύμονος ποταμοῦ ἐπὶ τὸν ἴςρον.

Περιδέρραιον· ἰσοδυναμεῖ τῷ παρ' ἡμῖν λαιμομάνδυλον καλουμένῳ.

Πείρινθα, ϗ πείρινς, ϗ πείρινθον, τὸ τῆς ἁμάξης ἄνω τοῦ ἄξονος φορτοφόρον πλινθίον, ἔνθα ϗ ὁδιφρηλάτης ἐκάθητο, ἢ τὸ ὄπισθεν τῆς ἁμάξης, ἐν ᾧ τὰ φορτία ἐμβάλλεται.

Περόνη· ἐπὶ τῶν ποδῶν ἑκατέρωθεν προέχουσιν οἱ ἀςράγαλοι, εἰς οὓς αἱ περόναι καταλήγουσι, δηλ. τὰ ἀντικείμενα τῇ κνήμῃ ὀςᾶ, αἳ ϗ παρακερκίδες καλοῦνται.

Περικάρδιος ὁ ἐπὶ τῇ καρδίᾳ ὑμὴν, ϗ τὸν θώρακα διαφράττων, ὑμὴν περικάρδιος, ϗ χιτὼν ὀνομάζεται.

Πέρκη· εἶδος ἰχθύων· ἰδὲ Ἀριςοτ. βιβ. 2. κ. 21.

Περσικὸν μῆλον· τὸ νῦν δωράκινον καλούμενον.

Πήγανον· εἶδος βοτάνης, οὕτω ϗ νῦν κατὰ τόπους καλούμενον.

Πηνίον· ὁ ἄτρακτος, ἐν ᾧ εἰλεῖται ἡ κρόκη, ϗ τὸ νῆμα· πηνία δὲ, μέρη τοῦ ἱςουργείου, δι' ὧν προφορούμενοι οἱ ςήμονες, ἀνέρχονται, τούτων ἀνερχομένων, ϗ κατέρχονται,

τούτων κατερχομένων, οἱονεὶ πορεία γινόμενοι, δι' ὧν ἡ κερκὶς διαπεράται, ἐν ᾗ ἡ κρόκη· καὶ οὕτως ἡ ὕφανσις ἀποτελεῖται· ἅπερ οἱ ἰδιῶται μιτάρια καλοῦσι, ἴσως ἀπὸ τοῦ μίτος, ὅπερ τὸ αὐτὸ σημαίνει.

Πίσον, ἢ (λέκυθος)· ἔτνος καλεῖται τὸ ἐκ τῶν ἐρεχθέντων ὀσπρίωντε, καὶ χεδρόπων σκεναζόμενον, λέκυθος δὲ τὸ ἐκ τῶν ἀλεσθέντων ἄλευρον, ἑψόμενον ἐν ὕδατι, προσεμβαλλομένου τοῦ λίπους· τὸ δὲ ἐτνηρὸν ἕψημα, ὃ νῦν φάβαν οἱ ἰδιῶται καλοῦσι, ἐκκυάμων, καὶ πίσου γίγνεται· ὅθεν κυάμινον ἔτνος, καὶ πίσινον ἔτνος.

Πίτυς· ἡ κοινῶς καλουμένη κωκοναριά· ὁ δὲ ταύτης καρπὸς, καὶ τῆς πεύκης, ἐξ ἧς τὸ κοινολεκτούμενον δαδίον, ὁ εὑρισκόμενος ἐν τοῖς κώνοις, πιτυΐδες, καλεῖται.

Πνεύμοινον· ὅπερ κοινῶς ῥακὶ καλοῦσι.

Πνεύμων· σπλάγχνον τῆς καρδίας, ὅπέρ ἐστιν ἡ κυρίως αἰτία τοῦ ἀναπνεῖν, καὶ φωνεῖν· ὕλη γὰρ τῆς φωνῆς ὁ ἀναπνεόμενος ἀήρ.

Πορθμός· ἡ μεταξὺ δύω αἰγιαλῶν θάλασσα, ἢ ἡ ἀμφίγειος, καὶ στενὴ θάλασσα πορθμὸς καλεῖται.

Πρόδομος· ἡ πρὸ τῆς οἰκίας στοά· ὅπερ ἰταλιστὶ γαλλαρία λέγεται· ὃ καὶ ὁρατὸν ἔξωθεν.

Προστέγιον· ὁ πρὸ τῆς θύρας ἐστεγασμένος τόπος.

Προμαχών· προμαχῶνες, καὶ προμαχεῶνες, καὶ πρόβολοι, αἱ τῶν τειχῶν ἐπάλξεις καλοῦνται, καὶ τὰ ἐρείσματα.



Πρόχοος· ὑδροφόρον ἀγγεῖον προχυτικὸν, ἀπὸ τοῦ χέειν τὸ ὕδωρ· πρόχοος ἔτι καὶ ὁ ξέστης (ῥωμαϊστὶ) ποτίζειν χρήσιμος.

Πυγολαμπὶς, καὶ πυρολαμπὶς, ζῶον πτηνὸν, ἐνσκότει λάμπον.

Πύρανον, καὶ πυρφόρον, καὶ πύραυνος, ᾧ τοὺς ἐμπύρους ἄνθρακας κομίζουσιν, ὅπερ ἐστὶν ὁ χυτρόπους, παρὰ τὸ πῦρ ἐνιαύειν ἐν αὐτῷ.

Πυρφόρος· σκεῦος ἀρτοποιῶν, καὶ μαγείρων ἴδιον, πρὸς τὸ τὰ πυρίκαυστα καταβάλλειν.

Πωμήριον· τὸ ἔνδον τοῦ τείχους, ἀφ' οὗ οἱ στρατιῶται ἀντιπολεμοῦσι τοὺς ἐχθροὺς, πωμήριον καλεῖται· κατὰ δὲ τὸν Σουΐδ. τὸ τοῦ τείχους εἰκόνισμα, εἴτουν σχῆμα.

§. 15.

Ῥαιστὴρ, καὶ ῥωστὴρ, σφύρα ξυλίνη, καὶ ἡ σφύρα.

Ῥῆμος· ῥῆμος, ἐφ' οὗ ἡ ματέρια, εἴτουν ἡ ζύμη, ἢ ὁ ἄρτος ἐπιτίθεται, ἐμβαλλόμενος εἰς τὸν φοῦρνον· ἐπειδὰν εἰς φοῦρνον ἐμβληθῇ, ὑποπάσσεται χόνδρος τις τῷ ῥήμῳ, καὶ τ.

Ῥόμβος· μηχανή ἐστι κυλινδροειδής, ᾧ αἱ χερνήτιδες ἐργάζονται, κλωστῆρα ποιοῦσαι, ἥτις κοινῶς τζικρίκι καλεῖται.

Ῥυμός· τὸ μεταξὺ κατὰ μῆκος ξύλον τοῦ ἅρματος, ὅ ἐστι τὸ μέσον τῶν ἵππων ξύλον, ᾧ συνδέδεται ὁ ζυγὸς, ῥυμὸς καλεῖται. ὁ δ' ἐπ' ἄκρῳ τῷ ῥυμῷ ἐμπηγνύμενος πάτταλος, ἴσωρ καλεῖται.

§. 16.

Σέλμα· σέλματα τὰς τῶν ἐρετῶν καθέδρας λέγουσιν, ἢ τοὺς ζυγούς· καθόλου δὲ τὸ πλατὺ ξύλον σέλμα, καὶ σελίδωμα λέγεται.

Σηκός· ἡ κοινῶς μάνδρα τῶν προβάτων λεγομένη.

Σής· ἕκαστον τῶν πραγμάτων ἓν ἔχει τὸ λυμαινόμενον· ὁ σίδηρος τὸν ἰόν· τὸν σῆτα τὸ ἔριον· ὁ θρὶξ εἶδος σκώληκος, ἐγγινομένου ἔνδον τῶν ξύλων· ὁ δὲ ἴψ, εἶδος σκώλ. ἐντὸς τῶν κεράτων· ὁ ἴξ ἀμπέλων· ὁ σὴς ἐσθημάτων· ὁ τρὼξ, ὀσπρίων, καὶ ὁ ψὴν σύκων ἐστὶ βρωτικός.

Σίκυος· σίκυα τὰ ἀγγούρια, καὶ σικυήλατον, ὁ ἀγγουρόκηπος.

Συβωσία, καὶ συφεός, καὶ χοιροκομεῖα, ἡ συῶν εὐνή.

Σίλιγνυς, καὶ ζειά, καὶ ὄλυρα, ὃ νῦν βρίζα καλεῖται.

Σίλουρος· εἶδος θαλασσίων ἰχθύων.

Σίσαρον· εἶδος λαχάνου, οὗτινος ἡ ῥίζα χρήσιμος· ἔστι δὲ τὸ σίσαρον ἄγριον, εἴτουν ἀκήπευτον, καὶ κηπευτὸν, ὅπερ κοινῶς μὲν ἄρτος καλεῖται, Γερμανιστὶ δὲ κρομπήριον.

Σίφων· ὄργανον ὅμοιον σκόλοπι· καὶ ὄργανον, ᾧ τὸν οἶνον ἐκ μυζοῦντες, ἀρύομεν· καὶ ὀργανόντι, ᾧ ὕδατος πεπληρωμένῳ, ἐν τοῖς ἐμπρησμοῖς χρώμεθα, τὰς πυρκαϊὰς ἀποσβεννῦντες.

Σκίουρος, καὶ καμψίουρος, καὶ ἵππουρος· ἀπὸ τοῦ σκιάζειν ἑαυτὸν τῇ οὐρᾷ.

Σκινδαλμός· σκινδαλμὲς λέγεσι τὰς λεπτομερίας, ἀπότε τῆς σχίσεως τῶν καλάμων, ϗ τῶν ξύλων· σκινδαλμὸς κυρίως τὸ περὶ τὸν φλοιὸν τȣ̃ καλάμȣ ξέσμα.

Σκόπελος· τόπος ὑψηλὸς παρὰ τὴν θάλασσαν· ἢ ὑψηλός τόπος, ἀφ' ȣ̃ περισκοπῆσαι, ϗ ἀπιδεῖν ἐςι πάντα, ὅπερ καὶ σκοπιὰ καλεῖται.

Σμῆνος· σμῆνος κυρίως καλεῖται τῶν μελιττῶν τὸ πλῆθος· ϗ περὶ ὁσίȣ, ἀρετῶν σμῆνος, ϗ σμῆνος τὸ σίμβλον, ἀντὶ τȣ̃ περιεχομένȣ τὸ περιέχον.

Σορός· ἡ θήκη τῶν λειψάνων, καὶ τὸ μνῆμα, ἐν ᾧ τῶν τεθνεώτων τὰ σώματα βάλλεται· σορὸς δὲ, παρὰ τὸ ἔσω ὀρȣ̃ειν, ὅ ἐςι φυλάσσειν τὸν τεθνεῶτα.

Σπῖνος· εἶδος ςρȣθίȣ, ȣ̃τω ϗ νῦν καλȣ́μενον.

Σταθμός· μηχανὴ σιδηρᾶ, ςαθμὸς, ἢ φάλαγξ, ἢ ζυγὸς καλȣμένη, δι' ἧς τὰ βάρη ςαθμιζόμενα, ἢ ζυγοςατȣ́μενα, ἰσοῤῥοπεῖται, ἢ ἀνισοῤῥοπεῖται.

Στα χάνη, ϗ τρυτάνη· μηχανή ἐςι, ἧς ἑκατέρωθεν αἱ πλάςιγγες ἀπαιωρȣ̃νται τῆς ῥάβδȣ τȣ̃ ζυγȣ̃, ἐν αἷς ἡ ἰσοῤῥοπία, ϗ ἀνισοῤῥοπία θεωρεῖται.

Σταυρός· ςαυροὶ, ϗ σκόλοπες λέγονται τὰ ὀρθὰ, ϗ ἀπεξεσμένα ξύλα, παρὰ τὴν εἰς ἀέρα ςάσιν, ϗ παρὰ τὸ εἰς εὖρος ἵςασθαι, καταπηγνύμενα.

Σταφυλοβολεῖον, ϗ πατητήριον, ἐν ᾧ τὰς ςαφυλὰς ἐμβάλλȣσιν οἱ τρυγῶντες, ὅπως πτισσόμεναι τῷ τριβιδίῳ, ἐγχέονται τῷ ληνῷ.

Στέμφυλον· στέμφυλα καλεῖται τὰ στερεὰ λείψανα τῆς σταφυλῆς, ἐπειδὰν ἐν τοῖς ληνοῖς ἐκθλιβῇ πᾶς ὁ χυλὸς αὐτῶν· αὐτὰ δὴ τὰ στέμφυλα ἐν πίθοις ἐντιθέασιν οἱ ἄνθρωποι, σφίγγοντές τε, καὶ πιλοῦντες ἰσχυρῶς, ἅπερ καὶ τρίγα καλοῦσι· λέγεται στέμφυλα καὶ τὰ τῶν ἐλαιῶν ἀπολειπόμενα.

Στενωπός, καὶ στενοπὸς, καὶ στεινωπὸς, καὶ στεῖνος· στενὴ ὁδὸς, ἢ τόπος στενὸς οὕτω καλεῖται.

Σφαίρωμα· ἡ ἐπὶ τῆς ῥάβδου τοῦ σταθμοῦ σφαῖρα, πρόσω, καὶ ὀπίσω φερομένη, ἐπειδὰν τὰ βάρη σταθμίζωνται, σφαίρωμα καλεῖται· φυσικῶς δὲ ἀντιδύναμις καλεῖται.

Σφενδόνη· σφενδόνη, καὶ λογὰς, καὶ κοτύλη καλεῖται τὸ μετὰ τὴν κόρην λευκὸν ἅπαν τοῦ ὀφθαλμοῦ.

Σφηκίσκος· τὰ μικρὰ τῶν ξύλων, καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκοι καλοῦνται.

Σχοῖνος· εἶδος φυτοῦ, μεθ᾽ οὗ πλέκουσι τὰς σπυρίδας.

Σωλήν· ἡ διὰ τῶν σπονδύλων πορεία, δι᾽ ἧς ὁ μυελὸς τέταται· σωλῆνες καλοῦνται καὶ οἱ αὐλοί· σωλῆνες ἔτι καλοῦνται, δι᾽ ὧν ἡ κυκλικὴ φορὰ τοῦ αἵματος.

Σπλάγχνα· ἐνδόμυχα μέρη τοῦ ἀνθρώπου, οἷον, ὁ σπλὴν, ἡ καρδία, τὸ ἧπαρ, καὶ τ. λ.

§. 17.

Ταινεῖα, καὶ δοκὸς, τὸ μέγα ξύλον τῆς στέγης, ἐφ᾽ οὗ αἱ δοκίδες, ἐφ᾽ ὧν οἱ κέραμοι ἐπίκεινται, τὸ κοινῶς γρεντιά.

Ταρίχεια, καὶ ταριχεία· γάρος, ἄλμη, καὶ ἁλμυρίς· καὶ ταριχευτὸν, ἁλιςὸν, τηκτὸν, ξηρὸν, δηλ. κρέας, καὶ τὸ ὀξύγαρον· τάριχος δὲ τὸ ἁλσὶ πεπασμένον κρέας, ὅπέρ ἐςιν, ὁ καλȣμενος πασȣρμᾶς, ὁ παςὸς, καὶτ.

Ταρσός· μέρη τȣ ποδὸς τάδε, τὰ μὲν ἄνω πρὸ τῶν δακτύλων, πεδίον, ἢ ὄρος, ἢ πολυόςεον καλεῖται, ἐξ ὀςῶν, καὶ νεύρων συγκείμενα, ȣ τὸ ἔμπροσθεν μετὰ τȣς δακτύλȣς ταρσὸς, τὸ δὲ ἀπολῆγον τȣ ποδὸς κατόπιν πτέρνα.

Τέθριππος· τετράϊππον ἅρμα, ὅθεν ἔξιππον, καὶτ.

Τήβεννα· ἱμάτιον, ἢ χλαμὺς περιπόρφυρος, ἣν οἱ ἀρχαῖοι ρωμαῖοι, καὶ οἱ τύραννοι ἐφόρȣν.

Τίγρις· ὁ ποταμὸς τῶν περσῶν· καὶ τὸ ἄγριον ζῶον, ὃ παρὰ μὲν τοῖς ἕλλησι τίγρις, παρὰ δὲ ἰȣδαίοις φοράδει.

Τίτανος· ἡ ἄσβεστος·

Τομεύς· σιδηρȣν ἐργαλεῖον, ᾧ οἱ μάγειροι χρῶνται πρὸς τὸ τὰ κρέατα κατατέμνειν.

Τραπέζιος ὀθόνη. τὸ κοινῶς τραπεζομάνδυλον.

Τραχεῖα ἀρτηρία· παρὰ τὸ τὸν ἀέρα τηρεῖν, τȣτέστι τὸ πνεῦμα· ἡ τραχεῖα ἀρτηρία πνεύματός ἐςι δοχεῖον, καὶ ἀναπνοῆς μόνον ὠφέλιμος.

Τριγλίς· εἶδος θαλασσίων ἰχθύων μικρῶν, ὡς ἡ σμαρὶς, ἡ μαινὶς, καὶ ἄλλα, ȣτω κατὰ τόπȣς καὶ νῦν καλȣμένων.

Τριόρχης· εἶδος ἱεράκων, ὅτω καὶ νῦν ἴσως καλȣμένων.

Τύκος· ἐργαλεῖον, ᾧ τȣ̀ς λίθȣς περιτύκȣσιν, ἢ ξέȣσιν, ἑτοιμάζοντες.

Τύμπανον· μηχανήτις, ᾗ χρῶνται ἐπὶ τῶν φρεάτων· καὶ τύμπανον, ξύλα, οἷς τύπτονται ἐν τοῖς δικαςηρίοις οἱ τιμωρȣ́μενοι· καὶ τύμπανον τὸ ἐκδερμάτων γινόμενον, καὶ ὑπὸ τῶν βάκχων κρȣόμενον.

§. 18.

Ὑάκινθος· εἶδος βοτάνης, ἧς τὸ ἄνθος μέλαν, καὶ μαλακὸν, ὃ καὶ ὑακίνθινον καλεῖται ἄνθος.

Ὑπέρα· ὑπέρας λέγει ὁ Ὅμηρος σχοινία, οἷς τὸ κέρας μετάγεται, ἢ μᾶλλον σαφέςερον τὰ ἄνω εἰς τὸ ἄκρον τȣ̃ κέρατος ἑκατέρωθεν δύω σχοινία, οἷς οἱ ναῦται τὸ κέρας μετάγȣσιν· ἢ ὑπέρα σχοινίον, ᾧ ἀνίεται, καὶ διατείνεται τὸ ἱςίον, ὅπερ κοινῶς σκότα καλεῖται.

Ὑπόθεμα· τὰ ξύλα, ἐφ' οἷς οἱ πίθοι ἐν ταῖς οἰνοθήκαις ἐπιτίθενται, ὑποθέματα καλεῖται.

Ὕσσωπον· βοτάνη ἐςὶ καθαρτικὴ, ὁμοία σαμψύχῳ· τὸ δὲ σάμψυχον κατά τινας τὸ μάλαθρόν ἐστι.

Ὑποκυφώνια· μέρη ἁμάξης ȣ̈τω καλȣ́μενα· τȣτέςι τῶν πλαγίων πλευρῶν αἱ ἐπάνω ῥάβδοι, αἱ ἕως κάτω τείνȣσαι, κυφῶνες καλȣ̃νται· αἱ δὲ ἀπ' αὐτῶν μέσαι ῥάβδοι ἕως τȣ̃ τόνȣ ὑποκυφώνια, ἢ κιλλόβαντες, ἢ κιλλορόβοι· τόνος δὲ ἡ ἱμάντωσις τȣ̃ δίφρȣ καλεῖται·

ἰςέον δὲ, ὅτι ἐ μόνον μέρος ἁμάξης δίφρος καλεῖται, ἀλλὰ καὶ τὸ ὅλον ἅρμα.

§. 19.

Φαινόλης· ὁ χιτὼν, ἢ τὸ ἱμάτιον, παρὰ τὸ φαίνεσθαι ὅλος· καὶ χιτὼν ἱερατικός· καὶ ὁ κοινῶς, κατὰ τόπȣς, γιαπȣντζὲς λεγόμενος, ἢ τὸ τȣρκισὶ γιαμπρȣλȣκι.

Φασιανός· ἀλεκτρυόνες, δηλονότι εἶδος ὀρνέων, ὅμοιοι ταῖς περιςεραῖς, ȣτω καὶ νῦν κατὰ τόπȣς καλȣμενοι.

Φάτνωμα· φατνώματα, εἴτε σανιδώματα καλεῖται τὰ διάγλυφα ςέγη τῶν οἰκιῶν.

Φέρετρον· τῶν νεκρῶν ἡ κλίνη, παρὰ τὸ φέρειν ἐπικείμενον τὸν νεκρὸν, ὅπερ ἐςι τὸ ξυλοκρέβατον.

Φηγός· ἡ δρῦς· ἢ εἶδος δένδρων, ὃ τὰς ἀγρίας βαλάνȣς ἔχει· φηγὸν δὲ τὴν βάλανον, ἀπὸ τȣ φάγω, φαγὸν, καὶ φηγόν· οἱ γὰρ ἀρχαῖοι πρὸ τȣ τὸν σῖτον εὑρεῖν, βαλάνȣς ἤσθιον, καὶ ὀπώρας.

Φίλυρα· φυτὸν, ἔχον φλοιὸν βύθρῳ παπύρῳ ὅμοιον, ἐξ ȣ τȣς ςεφάνȣς πλέκȣσιν· ἢ, ἡ κοινῶς φιλȣργιὰ καλȣμένη.

Φορβασία, ἢ φορβειά· ὁ χαλινὸς, καὶ τὸ κοινῶς καπίςριον.

Φύσαλος· βάτραχος ὁ χερσαῖος, ἀπὸ τȣ φυσᾷν, φύσαλος.

§. 20.

Χαράκωμα· περίφραγμα, ἢ τεῖχος, ἢ ᾧ περιεβάλλοντό τινες ἐπὶ σωτηρίᾳ ςρατοπέδῳ.

Χάραξ·

Χάραξ· ξύλον ἐςὶν, ἐν ᾧ τὰς ἀμπέλȣς δεσμȣ̃σιν, ὥστε ἵςασθαι, καὶ μὴ πίπτειν εἰς τὴν γῆν· καὶ Χάρακες οἱ γινόμενοι ἐπὶ τῶν πρὸς πολυορκίαν.

Χερνῆτις, καὶ χειρόβιος, ȣ̓μόνον ἡ Χερνῆτις γυνὴ, ἀλλὰ καὶ πάντες οἱ ἀπὸ τῶν χειρῶν ζῶντες, ȣ̃τω καλȣ̃νται.

Χνόη· ἡ ὀπὴ τȣ̃ τροχȣ̃, καὶ τὸ τȣ̃ ἄξονος μέρος, τὸ εἰς τὴν ὀπὴν, ἐμβαλλόμενον. ἢ τὰ ἀκροξόνια, περὶ ἃ αἱ χοινικίδες περιςρέφονται· ἢ καὶ ἄλλως, τȣ̃ ἄξονος τὸ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι, χνόη καλεῖται.

Χοεύς· εἶδος μέτρȣ, ᾧ μετρȣ̃σι τὸν οἶνον, ἢ ποτηρίȣ, ἀπὸ τȣ̃ χέειν.

Χυτρεῖα, καὶ χύτρια, τὰ τῶν χυτρῶν ὄςρακα καλεῖται.

Χῶμα· ὕψωμα γῆς, ἢ ἡ ὄχθη.

§. 74.

Ψάρ· εἶδος ὀρνέȣ, καὶ ψαρὸς, ὃ ἐςι ποικίλον.

Ψιττακός· ὄνομα ὀρνέȣ, ὃς παρ' ἡμῖν παππαγάλλος καλεῖται.

§. 22.

Ὤκιμον· εἶδος βοτάνης εὐῶδες· τὸ κοινῶς λεγόμενον βασιλικόν.

Ὠλέκρανον· τὸν ἀγκῶνα καλȣ̃σι, καὶ τὸ ἐπὶ καμπῇ τῆς χειρὸς ὀξύ.

Ὠτίς· εἶδος ὀρνέων ποικιλοχρόων, ὥς φησιν ὁ Συνέσιος· ,,ἤδη δέ τις καὶ ὠτίδα ἔδωκεν, ὄρνεον ἐκτόπως ἡδὺ, ἰδὼν ἂν ἄγροικος



ἐπείποι ταῶν· " αἱ ὠτίδες πέτονταίτε βραχὺ, ὥσπερ αἱ πέρδικες, καὶ ταχὺ ἀπαγορεύυσι· τὰ δὲ κρέα αὐτῶν, κατὰ Γαληνὸν, ἡδέα ἐστί. „ μεταξὺ, φησι, τῆς τῶν Γερανῶν, καὶ τῶν Χηνῶν, ἡ σὰρξ τῶν καλυμένων ὠτίδων ἥδυτατον.

ΠΕΡΙ' Α'ΡΙΘΜΗ'ΣΕΩΣ.

§. 1.

'Αριθμῦντας, ὕτως ἀριθμητέον, ἓν, δύω, τρία, τέσσαρα, πέντε, ἓξ, ἑπτὰ, ὀκτὼ, ἐννέα, δέκα, ἕνδεκα, δώδεκα, ἢ δύωκαίδεκα, δεκατρία, ἢ τρiaκαίδεκα, δεκατέσσαρα, ἢ τεσσαρακαίδεκα, δεκαπέντε, ἢ πεντεκαίδεκα, δεκαὲξ, ἢ ἑκκαίδεκα, δεκαεπτὰ, ἢ ἑπτακαίδεκα, δεκαοκτὼ, ἢ ὀκτωκαίδεκα, δεκαεννέα, ἢ ἐννεακαίδεκα, εἴκοσι· εἰκοσιὲν ἢ ἓν καὶ εἴκοσι· εἴκοσι δύω· εἰκοσιτρία· εἰκοσιτέσσαρα· εἰκοσιπέντε· εἰκοσιὲξ· καὶτ. τριάκοντα, τριακονταὲν, ἢ ἓν καὶ τριάκοντα· τεσσαράκοντα, τεσσαρακονταὲν, ἢ ἓν καὶ τεσσαράκοντα· πεντήκοντα, πεντηκονταὲν, ἢ ἓν καὶ πεντήκοντα· ἑξήκοντα, ἑξηκονταὲν, ἢ ἓν καὶ ἑξήκοντα· ἑβδομήκοντα, ἑβδομηκονταὲν, ἢ ἓν καὶ ἑβδομήκοντα· ὀγδοήκοντα, ὀγδοηκονταὲν, ἢ ἓν καὶ ὀγδοήκοντα· ἐννενήκοντα, ἐννενηκονταὲν, ἢ ἓν καὶ ἐννενήκοντα· ἑκατὸν, ἓν καὶ ἑκατὸν, δύω καὶ ἑκατὸν, καὶτ. διακόσια, τριακόσια, τετρακόσια, πεντακόσια, ἑξακόσια, ἑπτακόσια, ὀκτακόσια, ἐννεακόσια, χίλια, δισχίλια, τρισχίλια, τετρακισχίλια, πεντακισχίλια, ἑξακισχίλια, ἑπτακισχίλια, ὀκτακισχίλια, ἐννεακισχίλια, μύρια, δισμύρια, τρισμύρια, τετρακισμύρια, πεντακισμύρια, ἑξακισμύρια, ἑπτακισμύρια, ὀκτακισμύρια, ἢ ὀγδοακισμύρια, ἐνναkισμύρια, δέκα μύ-

ρια, εἴκοσι μύρια, τριάκοντα μύρια, τεσσαρακοντα μύρια, πεντήκοντα μύρια, ἑξήκοντα μύρια, ἑβδομήκοντα μύρια, ὀγδοήκοντα μύρια, ἐννενήκοντα μύρια·

Οὕτω ϗ τὰ εἰς πλȣ̃ς ἐπίθετα.

§. 2.

Ἁπλȣ̃ς, διπλȣ̃ς, τριπλȣ̃ς, τετραπλȣ̃ς, πενταπλȣ̃ς, ἑξαπλȣ̃ς, ἑπταπλȣ̃ς, ὀκταπλȣ̃ς, ἐννεαπλȣ̃ς, δεκαπλȣ̃ς, πεντεδεκαπλȣ̃ς, εἰκοσαπλȣ̃ς, τριακονταπλȣ̃ς.

Οὕτω ϗ τὰ εἰς πλάσιος ἐπίθετα.

§. 3.

Διπλάλιος, τριπλάσιος, τετραπλάσιος, πενταπλάσιος, ἑξαπλάσιος, ἑπταπλάσιος, ὀκταπλάσιος, ἐννεαπλάσιος, δεκαπλάσιος, τεσσαρακονταπλάσιος· καὶτ.

Τὰ δὲ εἰς ᾶς ȣ̓σιαστικὰ ᾧδέπως.

§. 4.

Μονὰς, δυὰς, τριὰς, τετρὰς, πεντὰς, ἑξὰς, ἢ ἑκτὰς, ἑπτὰς, ἢ ἑβδομὰς, ὀγδοὰς, ἐννὰς, δεκὰς, εἰκὰς, τριακὰς, ἑκατοντὰς, χιλιὰς, μυριὰς, καὶτ.

Οὕτω ϗ τὰ ποσότητος ἐπιῤῥήματα.

Ἅπαξ, δὶς, τρὶς, τετράκις, πεντάκις, ἑξάκις, ἑπτάκις, ὀκτάκις, ἐννάκις, δεκάκις, ἑνδεκά-

κις, δωδεκάκις, τρισκαιδεκάκις, τεσσαρεσκαιδεκάκις, πεντεκαιδεκάκις, ἑκκαιδεκάκις, ἑπτακαιδεκάκις, ὀκτωκαιδεκάκις, ἐννεακαιδεκάκις, εἰκοσάκις, τριακοντάκις, τεσσαρακοντάκις, πεντηκοντάκις, ἑξηκοντάκις, ἑβδομηκοντάκις, ὀγδοηκοντάκις, ἐννενηκοντάκις, ἑκατοντάκις, διακοσσιάκις, τριακοσιάκις, τετρακοσιάκις, πεντακοσιάκις, χιλιάκις, δισχιλιάκις, τρισχιλιάκις, μυριάκις, δισμυριάκις, μυριάκις μυριάκις, πολλάκις, ποσάκις, τοσάκις, καὶτ.

Τὰ δὲ τακτικὰ ὗτω.

§. 6.

Πρῶτος, δεύτερος, τρίτος, τέταρτος, πέμπτος, ἕκτος, ἕβδομος, ὄγδοος, ἔνατος, δέκατος, ἑνδέκατος, δυωκαιδέκατος, τρισκαιδέκατος, τεσσαρεσκαιδέκατος, πεντεκαιδέκατος, ἑκκαιδέκατος, ἑπτακαιδέκατος, ὀκτωκαιδέκατος, ἐννεακαιδέκατος, εἰκοςὸς, εἰκοςὸς πρῶτος, τριακοςὸς, τεσσαρακοςὸς, πεντηκοςὸς, ἑξηκοςὸς, ἑβδομηκοςὸς, ὀγδοηκοστὸς, ἐννενήκοςὸς, ἑκατοςὸς, διακοσιοςὸς, τριακοσιοςὸς, τετρακοσιοςὸς, πεντακοσιοςὸς, ἑξακοσιοςὸς, ἑπτακοσιοςὸς, ὀκτακόσιοςὸς, ἐννεακοσιοςὸς, χιλιοςὸς, δισχιλιοστὸς, τρισχιλιοστὸς, τετρακισχιλιοστὸς, πεντακισχιλιοστὸς, ἑξακισχιλιοστὸς, ἑπτακισχιλιοστὸς, ὀκτακισχιλιοστὸς, ἐννακισχιλιοστὸς, μυριοστὸς, καιτ.

Οὕτω καὶ τὰ εἰς ετης.

§. 7.

Αὐτοετὴς, καὶ αὐτοέτης· διετὴς, καὶ διέτης· τριετὴς, καὶ τριέτης· τετραετής· πενταετής· ἑξαετής·



ἑπταετής· ὀκταετής· ἐνναετής· δεκαετής· ἑνδεκαετής· δωδεκαετής· τρισκαιδεκαετής· τεσσαρεσκαιδεκαετής· πεντεκαιδεκαετής· ἑκκαιδεκαετής· ἑπτακαιδεκαετής· ὀκτωκαιδεκαετής· ἐννεακαιδεκαετής· εἰκοσαετής· ἑνκαιεἰκοσαετής· τριακονταετὴς, ϗ τριακονταέτης, ϗ τριακοντέτης· τεσσαρακονταετὴς, ϗ τεσσαρακονταέτης, ϗ τεσσαρακοντέτης· πεντηκονταετὴς, καὶ, έτης, καὶ πεντηκοντέτης· ἑξηκονταετής, καὶ ἑξηκοντέτης, ἑβδομηκονταετὴς, καὶ ἑβδομηκοντέτης· ὀγδοηκονταετὴς, καὶ ὀγδοηκοντέτης· ἐννενηκονταετὴς, καὶ ἐννενηκοντέτης· ἑκατονταετὴς, καὶ ἑκατοντέτης· χιλιετὴς, καὶτ.

Τὰ δὲ θηλυκὰ ὕτω.

§. 8.

Αὐτοετὶς, καὶ αὐτοέτις· διετὶς, καὶ διέτις, δεκαετίς· εἰκοσαετίς· τριακονταετὶς, καὶ τριακοντέτις καὶτ. λ.

Περὶ τῶν ςρατεύματος τάξεων.

§. 9.

Ἰςέον δὲ, ὡς τῶν ςρατιωτικῶν τάξεων, καὶ ἡγεμονιῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς καλεῖται πεμπὰς, ὁ δὲ ἄρχων, πέμπαρχος· ὁ δὲ τῶν δέκα, δεκὰς, καὶ δέκαρχος· ὁ δὲ τῶν πέντε, καὶ εἴκοσι, λόχος, καὶ λοχαγός· ὁ τῶν πεντήκοντα πεντηκοστὸς, καὶ πεντηκόνταρχος· ὁ τῶν ἑκατὸν, τάξις, ϗ ταξίαρχος· ὁ τῶν πεντήκοντα, καὶ διακοσίων, σύνταγμα, καὶ συνταγματάρχης· ὁ τῶν πεντακοσίων, πεντακοσιοςὸς, καὶ πεντακοσίαρχος· ὁ τῶν χιλίων, χιλιοστὸς, καὶ χιλίαρχος· ὁ τῶν δισχιλίων, με-

ραρχία, καὶ τέλος, καὶ μεράρχης, καὶ τελάρχης· ὁ τῶν τετρακισχιλίων, φάλαγξ, καὶ φαλαγγάρχης, ὁ τῶν μυρίων, μυριοσὸς, καὶ μυρίαρχος· αἱ δύω τετραφαλαγγαρχίαι, τετραφαλαγγαρχίασις ἀνδρῶν μυρίων ἑξακισχιλίων, καὶ ὁ ἄρχων τετραφαλαγγάρχης· τὸ μέντο πεζικὸν ἅπαν σράτευμα ὁμωνύμως τοῖς μερικοῖς τάγμασιν λέγεται φάλαγξ· καὶ ὁ ἡγέμενος σρατηγός· τῦ δὲ ἱππικῦ, ἵππαρχος· τὸ δὲ συναμφότερον πεζοίτε, καὶ ἱππεῖς, σρατιά· τῆς δὲ σρατιᾶς τὸ μέτωπον λεγόμενον, ὃ καὶ πρῶτον ζυγὸν καλῦσι, πρωτοσάται, καὶ ὁ ἡγέμενος, πρωτοσάτης· οἱ δὲ παρ' ἑκάτερα ταττόμενοι, κέρατα, δεξιόντε, καὶ εὐώνυμον, οἱ αὐτοὶ καὶ παρασάται, ὁ δὲ ἀρχὸς, ὁμωνύμως· οἱ δὲ ὄπισθεν αὐτῶν ὡς ἐπιβάθυς ταττόμενοι, ἐπισάται· τὸ δὲ ἐπὶ τύτοις πρὸς τὸ βάθος ἔσχατον ζυγὸν, ὐρὰ, καὶ ὐραγός· ὁ αὐτὸς καὶ ὀπισθοφύλαξ· ἡ συνήθεια πεντηκοντοφύλακα αὐτὸν καλεῖ· ὁ δέγε τῦ παντὸς σρατῦ ἡγεμονεύων, βασιλεύς.

Διαίρεσις τῦ ἔτυς.

§. 10.

Τὸ μὲν παρ' ἡμῖν ἔτος, ὃ διὰ τῆς ἡλιακῆς συμπληρῦται περιόδυ, περιέχει ἡμέρας μὲν τριακοσίας πέντε καὶ ἑξήκοντα, ὥρας δὲ πέντε, 5· καὶ λεπτὰ μὲν πρῶτα 48΄. δεύτερα δὲ 45΄΄. διαιρεῖται δὲ εἰς ὥρας, εἴτυν καιρὺς τέσσαρας· καλῦνται δὲ αἱ ὧραι αὗται, Ἔαρ, Θέρος, Φθινόπωρον, καὶ Χειμών· προσέτι ἐπιδιαιρεῖται τὸ ἔτος εἰς μῆνας δυωκαίδεκα, ὧν τὰ ὀνόματα Ἕλλησὶ μὲν εἰσι ταῦτα, Γαμηλιὼν, Ἐλαφηβολιὼν, Μυνιχιὼν, Θαργι-

λιὼν, Σκιῤῥοφοριὼν, Ἑκατομβαιὼν, Μεταγειτνιὼν, Βοηδρομιὼν, Μαιμακτηριὼν, Πυανεψιὼν, Ἀνθεστηριὼν, καὶ Ποσειδεὼν.

Μακεδονιστὶ δὲ τάδε, Αἰγόκερως, Ὑδροχόος, Ἰχθῦς, Κριὸς, Ταῦρος, Δίδυμος, Καρκῖνος, Λέων, Παρθένος, Ζυγὸς, Σκορπίος, καὶ Τοξότης.

Ῥωμαϊστὶ δὲ τὰ ἑξῆς, Ἰαννουάριος, Φευρουάριος, Μάρτιος, Ἀπρίλλιος, Μάϊος, Ἰούνιος, Ἰούλιος, Αὔγουστος, Σεπτέμβριος, Ὀκτόμβριος, Νοέμβριος, Δεκέμβριος.

Τούτων δ' ἕκαστος ὑποδιαιρεῖται μὲν εἰς ἑβδομάδας περίπουτέτταρας, περιέχουσι δὲ ἡμέρας, οἱ μὲν τριάκοντα, οἱ δὲ πλείους, ἐλάττους δὲ εἷς μόνος ὁ Φευρουάριος· τῶν δὲ μηνῶν ἕκαστον εἰς δεκάδας τρεῖς διαιροῦντες οἱ Ἀθηναῖοι, ἐκάλουν, τὴν μὲν τοῦ μηνὸς πρώτην, πρώτην ἱσταμένου, ἢ ἀρχομένου, τὴν δὲ δευτέραν, δευτέραν ἱσταμένου, ἢ ἀρχομένου, καὶ καθεξῆς ὁμοίως μέχρι τῶν δέκα· τὴν δὲ μετὰ τὴν δεκάτην, πρώτην ἔλεγον μεσοῦντος, ἢ πρώτην ἐπὶ δεκάδι, ἢ ἐπὶ δεκάτῃ, τὴν δὲ δευτέραν, δευτέραν μεσοῦντος, ἢ ἐπὶ δέκα, καὶ ἑξῆς ὡσαύτως ἄχρις εἰκάδος· τὴν δ' ἀμέσως μετὰ τὴν εἰκάδα, δεκάτην φθίνοντος, ἢ δεκάτην λήγοντος, ἢ πρώτην ἐπὶ εἰκάδι, ἢ μετὰ εἰκάδα, καὶ οὕτω καθεξῆς· τήν γε μὴν τελευταίαν, εἴτουν τὴν τριακοστὴν Ἕνην, καὶ Νέαν, ἢ Τριακάδα.

Ἡ δὲ κατὰ πλάτος ἀπαρίθμησις αὕτη.

§. 11.

1. Νουμηνία.	ἱσαμένου, ἢ ἀρχομένου		
2. δευτέρα.			
3. τρίτη.			
4. τετάρτη			
5. πέμπτη.			
6. ἕκτη·			
7. ἑβδόμη.			
8. ὀγδόη.			
9. ἐνάτη.			
10. δεκάτη.			
11. πρώτη.	μεσοῦντος, ἢ ἐπὶ δεκάδι, ἢ ἐπὶ δεκάτῃ.		
12. δευτέρα.			
13. τρίτη.			
14. τετάρτη.			
15. πέμπτη.			
16. ἕκτη.			
17. ἑβδόμη.			
18. ὀγδόη.			
19. ἐνάτη.			
20. εἰκὰς, ἢ εἰκοστή.			
21. δεκάτη.	φθίνοντος, ἢ λήγοντος.	ἢ πρώτη.	ἐπὶ εἰκάδι, ἢ μετὰ εἰκάδα
22. ἐνάτη.		δευτέρα.	
23. ὀγδόη.		τρίτη.	
24. ἑβδόμη.		τετάρτη.	
25. ἕκτη.		πέμπτη.	
26. πέμτη.		ἕκτη.	
27. τετάρτη.		ἑβδόμη.	
28. τρίτη.		ὀγδόη.	
29. δευτέρα.		ἐνάτη.	
30. ἕνη, καὶ νέα, ἢ τριακάς.			

ΠΑΡΟΡΑ'ΜΑΤΑ.

Σελ.		στίχ.	ἀντὶ	γρ.
1.		1.	ἀπλέτφ,	ἀπλέτῳ.
ἀυτ.		4.	πανσόρως,	πανσόφως.
ἀυτ.		9.	ἀναπτυχθίσεται,	ἀναπτυχθήσεται.
6.	§. 7.	7.	ϖερύκασι,	πεφύκασι.
12.	§. 15.	1.	πάητα,	πάντα.
19.		3.	περικεκαλύπτεται,	περικαλύπτεται.
31.	§. 36.	3.	πηάγματα,	πράγματα.
41.	§. 45.	11.	διαδχόμεναι,	διαδεχόμεναι.
57.		11.	σφδρῶς,	σφοδρῶς.
69.		1.	τότε,	τό, τε.
86.		11.	ἱϖεὺς,	ἱππεὺς.
98.		4.	ἀκρόκολις,	ἀκρόπολις.
108.	§. 2.	4.	καρκὸς,	καρπος.



